ἐμὶ δ' ἐγὼ Διόνυσος ἐρίβρομος· ὃν τέκε μήτηρ
Καδμηὶς Σεμέλη Διὸς φιλότητι μιγεῖσα·
χαῖρε τέκος Σεμέλης βώκιδος· βδὺ πᾶσι,
σῷ δὲ λιβομβρόομον γλυκερὴν ποσμήσαι ἀοιδήν·

ΕΙΣ ΑΡΕΑ.

ἄ Ρεϐ ὑπρμενέτα βρισάρματε, χρυσεο
πήληξ,
ὀμβριμόθυμε, φέρασσι, πολισσόε, χαλ
κοκορυστά,
καρτρόχειρ, ἀμόγητε, δορησθενὲς, ἕρκος ὀλύμπυ
νίκης οὐπολέμοιο πάτρ σωαρωγὲ θέμιστος,
ἀντιβίοισι τύραννε, δικαιοτάτων ἀγὲ φωτῶν,
ἠνορέης σκηπτοῦχε, πυραυγέα κύκλον ἑλίσσων,
αἰθέρος ἑπταπόροις ἐνὶ τέρεσιν· ἔνθά σε πῶλοι
ξαφλεγέεϐ τριτάτης ὑπὲρ ἄντυγος αἰὲν ἔχουσι,
κλῦθι βροτῶν ἐπίκουρε δοτὴρ εὐθαρσέος ἥβης,
πρηΰ καταστίλβων, σέλας ὑψόθεν εϐ βιότητα
ἡμετέρην, καὶ κάρτος ἀρήϊον· ὥς κε δυναίμην
σεύεσθαι κακότητα πικρὴν ἀπ' ἐμεῖο καρήνου,
καὶ ψυχῆς ἀπατηλὸν ὑπογνάψαι φρεσὶν ὁρμήν,
θυμοῦ τ' αὖ μένος ὀξὺ κατισχέμεν, ὅς μ' ἐρέθησι
φυλόπιδος κρυβῆς ἐπιβαινέμεν· ἀγὰ σὺ θάρσος
δὸς μάκαρ, ἐρήνης τε μένειν ἐν ἀπήμοσι θεσμοῖς,
δυσμενέων προφυγόντα μόθον κῆράς τε βιαίους·

ΕΙΣ ΑΡΤΕΜΙΝ·

ἄ Ρτεμιν ὑμνεῖ μοῦσα κασιγνήτην ἑκά
τοιο,
παρθένον ἰοχέαιραν ὁμότροφον ἀπόλ
λωνος·
ἣ δ' ἵππους ἄρσασα βαθυχόνοιο μελήτης,

ἔμφα διὰ σμύρνης παχρύσεον ἅρμα διώκει,
ἐς κλάρον ἀμπελόεσσαν. ὅθ' ἀργυρότοξος ἀπόλλων
ἧσται μιμνάζων ἑκατηβόλον ἰοχέαιραν·
καὶ σὺ μὲν οὕτω χαῖρε θεαὶ δ' ἅμα πᾶσαι ἀοιδῇ·
αὐτὰρ ἐγώσε πρῶτα, καὶ ἐκ σέθεν ἄρχομ' ἀείδειν·
σοῦ δ' ἐγὼ ἀρξάμενος, μεταβήσομαι ἄλλον ἐς ὕμνον·

ΕΙΣ ΑΦΡΟΔΙΤΗΝ·

Ὑπρογενῆ κυθέρειαν ἀείσομαι· ἥτε
π βροτοῖσι
μείλιχα δῶρα δίδωσιν, ἐφ' ἱμβρῷ
δὲ προσώπῳ
αἰεὶ μειδιάει, καὶ ἐφ' ἱμβρὸν φέρει ἄνθος·
χαῖρε θεὰ σαλαμῖνος ἐϋκτιμένης μεδέουσα,
καὶ πάσης κύπρου· δός δ' ἱμβρόεσσαν ἀοιδήν·
αὐτὰρ ἐγὼ καὶ σεῖο, καὶ ἄλλης μνήσομ' ἀοιδῆς·

ΕΙΣ ΑΘΗΝΑΝ·

Ἀλλά δ' ἀθηναίην ἐρυσίπτολιν ἄρχο
π μ' ἀείδειν
δεινήν· ἣ σὺν ἄρηϊ μέλει πολεμήϊα
ἔργα,
πβθόμεναί τε πόλιες αὐτή τε, πτόλεμοί τε·
καί τ' ἐρρύσατο λαὸν ἐόντά τε, νισόμενόν τε·
χαῖρε θεαὶ, δός δ' ἄμμι τύχην, εὐδαιμονίην τε·

ΕΙΣ ΗΡΑΝ.

ἣ Ρην ἀείδω χρυσόθρονον, ἣν τε
κε ῥείη
ἀθανάτην βασίλειαν ὑπείροχον ἧδος
ἔχουσαν,
ζηνὸς ἐριγδούποιο κασιγνήτην ἄλοχόν τε
κυδρήν· ἣν, πάντες μάκαρες κατὰ μακρὸν ὄλυμπον
ἁζόμενοι τίουσιν ὁμῶς διὶ τῆς πικῆς αὐνῷ.

ΕΙΣ ΔΗΜΗΤΡΑΝ.

δ Ημητρ' ἠΰκομον σεμνὴν θεὸν ἄρ=
χομ' ἀείδειν.
αὐτὴν καὶ κούρην περικαλλέα φῆσε=
φόνειαν,
χαῖρε θεὰ καὶ τήνδε σάου πόλιν, ἄρχε δ' ἀοιδῆς.

ΕΙΣ ΜΗΓΕΡΑ ΘΕΩΝ.

μ Ητέρα μοι πάντων τε θεῶν, πάν=
των τ' ἀνθρώπων,
ὑμνῆ μοῦσα λίγεια διὸς θυγάτηρ
μεγάλοιο·
ἣ κροτάλων τυμπάνων τ' ἰαχὴ σαύτε τρόμος αὐλῶν
εὔαδεν· ἠδὲ λύκων κλαγγὴ χαροπῶν τε λεόντων·
οὔρεά τ' ἠχήεντα, καὶ ὑλήεντες ἔναυλοι·
καὶ σὺ μὲν οὕτω χαῖρε, θεαί δ' ἅμα πᾶσαι ἀοιδῇ.

ΕΙΣ ΗΡΑΚΛΕΑ ΛΕΟΝΤΟ ΘΥΜΟΝ

Ρακλέα διὸς υἱὸν ἀείσομαι, ὃν μέγ
ἡ ἄριστον
γείνατ' ἐπιχθονίων θήβης ἐνὶ καλλι
χόροισιν
ἀγκμήνη, μιχθεῖσα κελαινεφέϊ κρονίωνι·
ὃς πρὶν μὲν κατὰ γαῖαν ἀθέσφατον ἠδὲ θάλασσαν
πλαζόμενος πομπῇσιν ὑπ' εὐρυσθῆος ἄνακτος.
πολλὰ μὲν αὐτὸς ἔρεξεν ἀτάσθαλα, πολλὰ δ' ἀνέτλη·
νῦν δ' ἤδη κατὰ καλὸν ἕδος νιφόεντος ὀλύμπου,
ναίει τῷ πόμενος, καὶ ἔχει καλλίσφυρον ἥβην·
χαῖρε ἄναξ διὸς υἱὲ· δίδους δ' ἀρετήν τε, καὶ ὄλβον·

ΕΙΣ ΑΣΚΛΗΠΙΟΝ·

Ἠτῆρα νόσων ἀσκηληπιὸν ἄρχομ'
ἰ ἀείδειν·
υἱὸν ἀπόλλωνος, τὸν ἐγείνατο δῖα κο
ρωνίς,
δωτίω ἐν πεδίῳ, κούρη φλεγύου βασιλῆος·
χάρμα μέγ' ἀνθρώποισι κακῶν θελκτῆρ' ὀδυνάων·
καὶ σὺ μὲν οὕτω χαῖρε ἄναξ, λίτομαι δὲ σ' ἀοιδῇ·

ΕΙΣ ΔΙΟΣΚΟΡΟΥΣ·

Ἄστορα καὶ πολυδεύκε', ἀείσεο μοῦσα λίγεια
α τυνδαρίδας, οἳ ξηνὸς ὀλυμπίου ἐξεγέ-
νοντο·

τοὺς ὑπὸ ταῦτέ τοῦ κορυφῆς τέκε πότνια λήδη,
λάθρῃ ὑποδμηθεῖσα κελαινεφεῖ κρονίωνι·
χαίρετε τανδαρίδαι, ταχέων ἐπιβήτορες ἵππων·

ΕΙΣ ΕΡΜΗΝ·

Ρμῆν ἀείδω κυλλήνιον ἀργειφόντην·
ἑ κυλλήνης μεδέοντα, καὶ ἀρκαδίης πολυμήλου,
ἄγγελον ἀθανάτων ἐριούνιον ὃν τέκε μαῖα
ἄτλαντος θυγάτηρ, διὸς ἐν φιλότητι μιγεῖσα
αἰδοίη μακάρων θεῶν ἀγείνεν ὅμιλον,
ἄντρῳ ναιετάουσα παλισκίῳ, ἔνθα χρονίων
νύμφῃ ἐϋπλοκάμῳ μισγέσκετο νυκτὸς ἀμολγῷ·
εὖ τε καταγλυκὺς ὕπνος ἔχοι λευκώλενον ἥρην·
λάνθανε δ' ἀθανάτους τε θεοὺς, θνητούς τ' ἀνθρώπους·
καὶ σὺ μὲν οὕτω χαῖρε διὸς καὶ μαιάδος υἱέ·
σεῦ δ' ἐγὼ ἀρξάμενος μεταβήσομαι ἄλλον ἐς ὕμνον·
χαῖρ' ἑρμῆ χαριδῶτα διάκτορε δῶτορ ἑάων·

ΕΙΣ ΠΑΝΑ·

Μφί μοι ἑρμείαο φίλον γόνον ἔννεπε μοῦσα,
ἀ αἰγοπόδην δικέρωτα φιλόκροτον ὅς τ' ἀνὰ πίσση
δενδρήεντ' ἄμυδις φοιτᾷ χοροήθεσι νύμφαις,
αἵ τε κατ' αἰγίλιπος πέτρης στείβουσι κάρηνα·
πᾶν' ἀνακεκλόμεναι νόμιον θεὸν ἀγλαέθειρον·

αὐχμήεντ' ὃς πάντα λόφον νιφόεντα λέλοιχε·
καὶ κορυφὰς ὀρέων, καὶ πετρήεντα κάρηνα·
φοιτᾷ δ' ἔνθα, καὶ ἔνθα διὰ ῥωπήϊα πυκνά·
ἄλλο τε μὲν ῥείθροισιν ἐφελκόμενος μαλακοῖσιν·
ἄλλο τε δ' αὖ πέτρῃσιν ἐν ἠλιβάτοισι διοιχνεῖ,
ἀκροτάτην κορυφὴν μηλόσκοπον εἰσαναβαίνων·
πολλάκι δ' αἰγινόεντα διέδραμεν οὔρεα μακρά·
πολλάκι δ' ἐν κνημοῖσι διήλασε θῆρας ἐναίρων,
ὀξέα δερκόμενος· τότε δ' ἔσπερος ἔκλαγεν οἶον,
ἄκρης ἐξανιὼν δονάκων, ὑπὸ μοῦσαν ἀθύρων
νήδυμον· οὐκ ἂν τόν γε παραδράμοι ἐν μελέεσσιν
ὄρνις· ἥτ' ἔαρος πολυάνθεος ἐν πετάλοισι
θρῆνον ἐπιπροχέουσα χέει μελίγηρυν ἀοιδήν·
σὺν δέ σφιν τότε νύμφαι ὀρεστιάδες λιγύμολποι
φοιτῶσαι πυκνὰ ποσὶν ἐπικρήνῃ μελανύδρῳ
μέλπονται· κορυφήνδε πρίστεν οὔρεος ἠχώ·
δαίμων δ' ἔνθα, καὶ ἔνθα χορῶν τότε ἐς μέσον ἕρπων,
πυκνὰ ποσὶν διέπει· λαῖφος δ' ἐπὶ νῶτα δαφοινὸν
λυγκὸς ἔχει· λιγυρῇσιν ἀγαλλόμενος φρένα μολπαῖς,
ἐν μαλακῷ λειμῶνι, τόθι κρόκος ἠδ' ὑάκινθος
εὐώδης θαλέων, καταμίσγεται ἄκριτα ποίην·
ὑμνεῦσιν δὲ θεοὺς μάκαρας, καὶ μακρὸν ὄλυμπον·
οἷον θ' ἑρμείην ἐριούνιον ἔξοχον ἄλλων
ἔννεπον· ὡς ὅγ' ἅπασι θεοῖς θοὸς ἄγγελός ἐστι·
καί ῥ' ὅγ' ἐς ἀρκαδίην πολυπίδακα μητέρα μήλων
ἐξίκετ'· ἔνθα δὲ οἱ τέμενος κυλληνίον ἐστίν.
ἔνθ' ὅγε καὶ θεὸς ὤν, ψαφαρόστιχα μῆλ' ἐνόμευεν
ἀνδρὶ παρὰ θνητῷ· θάλε δὲ πόθος ὑγρὸς ἐπελθὼν
νύμφῃ εὐπλοκάμῳ δρύοπος φιλότη μιγῆναι·

ΕΙΣ ΓΑΝΑ

ἐκ δ' τέλεσε γάμον θαλβόν· τέκε δ' ἐν μεγάροισιν
ἑρμείη φίλον υἱὸν ἄφαρ τρατωτὸν ἰδέσθαι·
αἰγιπόδην, δικέρωτα, πολύκροτον, ἡδυγέλωτα·
φεῦγε δ' ἀναΐξας, λεῖπεν δ' ἄρα παῖδα τιθήνη.
δεῖσε γὰρ ὡς ἴδεν ὄψιν ἀμείλιχον ἠϋγένειον,
τόν δ' αἶψ' ἑρμείας ἐριούνιος εἰς χέρα θῆκε
δεξάμενος· χαῖρεν δὲ νόῳ πρίωσια δαίμων·
ῥίμφα δ' ἐς ἀθανάτων ἕδρας κίε παῖδα κελύψας,
δίρμασιν ἐν πυκινοῖσιν ὀρεσκώοιο λαγωῦ·
πὰρ δὲ ζηνὶ κάθιζε, καὶ ἄλλοις ἀθανάτοισιν·
δῆξε δὲ κῦρον ἐὸν, πάντες δ' ἄρα θυμὸν ἔτρφθον·
ἀθάνατοι· πρίαλλα δ' ὁβάκχειος διόνυσος·
πᾶνα δὲ μιν κελέεσκον· ὅτι φρένα πᾶσιν ἔτερψε·
καὶ σὺ μὲν οὕτω χαῖρε ἄναξ· λίσομαι δὲ σ' ἀοιδῇ·
αὐτὰρ ἐγὼ καὶ σεῖο, καὶ ἄλλης μνήσομ' ἀοιδῆς

ΕΙΣ ΗΦΑΙΣΤΟΝ·

Φαιστον κλυτόμητιν ἀείδεο μοῦσα
ἢ λίγεια·
ὃς μετ' ἀθηναίης γλαυκώπιδος ἀγλαὰ
ἔργα
ἀνθρώπους ἐδίδαξεν ἐπὶ χθονός, οἵ, τὸ πάρος περ
ἄντροις ναιετάασκον ἐν οὔρεσιν ἠΰτε θῆρες·
νῦν δὲ δι' ἥφαιστον κλυτοτέχνην ἔργα δαέντες,
ῥηϊδίως αἰῶνα τελεσφόρον εἰς ἐνιαυτόν,
εὔκηλοι διάγουσιν ἐνὶ σφετέροισι δόμοισιν·
εἰς ἵληθ' ἥφαιστε, δίδου δ' ἀρετήν τε καὶ ὄλβον·

ΕΙΣ ΑΠΟΛΛΩΝΑ·

Οἶβε· σὲ μὲν καὶ κύκνος ὑπὸ πτερύ-
γων λίγ' ἀείδει,
ὄχθῃ ἐπιθρώσκων ποταμὸν παρὰ
δινήεντα
πηνειόν· σέ δ' ἀοιδὸς ἔχων φόρμιγγα λίγειαν
ἡδυεπὴς πρῶτόν τε, καὶ ὕστατον αἰὲν ἀείδει·
καὶ σὺ μὲν οὕτω χαῖρε ἄναξ, ἵλαμαι δὲ σ' ἀοιδῇ·

ΕΙΣ ΠΟΣΕΙΔΩΝΑ·

Μφὶ ποσειδάωνα θεὸν μέγαν ἄρχο
μ' ἀείδειν,
γαίης κινητῆρα, καὶ ἀβυγέτοιο θαλάσσης·
πόντιον, ὅς θ' ἑλικῶνα, καὶ εὐρείας ἔχει αἰγάς·
διχθάτοι ἐννοσίγαιε θεοὶ τιμὴν ἐδάσαντο·
ἵππων τε δμητῆρ' ἔμμεναι, σωτῆρα τε νηῶν·
χαῖρε ποσειδάων γαιήοχε κυανοχαῖτα,
καὶ μάκαρ εὐμενὲς ἦτορ ἔχων, πλώουσιν ἄρηγε.

ΕΙΣ ΔΙΑ·

Ηνα θεῶν τὸν ἄριστον ἀείσομαι, ἠδὲ
μέγιστον·
εὐρύοπα, κρείοντα, τελεσφόρον· ὅς τε
θέμιτι
ἐγκλιδὸν ἑζομένη, πυκινοὺς ὀάρους ὀαρίζει·
ἵλη θ' εὐρύοπα κρονίδη κύδιστε μέγιστε·

ΕΙΣ ΕΣΤΙΑΝ.

Στίη ἥ τε ἄνακτος ἀπόλλωνος ἐκάτοιο,
πυθοῖ ἐν ἡγαθέῃ ἱρὸν δόμον ἀμφιτελεύεις,
αἰὲὶ σῶν πλοκάμων ἀπολήβεται ὑγρὸν ἔλαιον·
ἔρχεο τόν δ' ἀνὰ οἶκον, ἐπέρχεο θυμὸν ἔχουσα
σωὸν δὶὶ μητιόεντι· χάριν δ' ἄμ' ὄπασον ἀοιδῇ.

ΕΙΣ ΜΟΥΣΑΣ, ΚΑΙ ΑΠΟΛΛΩΝΑ.

Ουσάων ἄρχομαι ἀπολλωνός τε
μ διός τε·
ἐκ γὰρ μουσάων, καὶ ἑκηβόλου ἀπόλλωνος,
ἄνδρες ἀοιδοὶ ἔασιν ἐπιχθονὶ καὶ κιθαρισταί·
ἐκ δὶ διός, βασιλῆες· ὅ δ' ὄλβιος ὅν τινα μοῦσαι
φίλωνται γλυκερὴ οἱ ἀπὸ στόματος ῥέει αὐδή·
χαίρετε τέκνα διὸς, καὶ ἐμὴν τιμήσατ' ἀοιδήν.
αὐτὰρ ἐγὼν ὑμέων τε, καὶ ἄλλης μνήσομαι ἀοιδῆς.

ΕΙΣ ΔΙΟΝΥΣΟΝ.

Ιανοκόμην διόνυσον ἐριβρομον ἄρχομ' ἀείδειν,
α ξυνὸς καὶ σεμέλης ἐριμυδέος ἀγλαὸν υἱόν,
ὃν πρέπον ἠΰκομοι νύμφαι παρὰ παιδὸς ἄνακτος,
λιξάμεναι

ὀξέα λοῦσαι πόλποισι, καὶ ἐνθυμέως ἀτίταλλον·
νύμφης ἐν γυάλοις, ὅθ' ἀέξετο παπρὸς ἕκητι·
ἄνθρωπ ἐν οὔρεσι μεταρίθμιος ἀθανάτοισιν·
αὐτὰρ ἐπεὶ δὴ τόνδε θεὰ πολύϋμνον ἔθρεψαν,
δὴ τότε φοιτίζεσκε κατ' ὑλήεντα νομῆας,
μιαυῷ καὶ δάφνῃ πεπυκασμένος· ἀμφὶ δ' ἄμ' ἕποντο
νύμφαι ὀρεστιάδες· βρόμος δ' ἔλεν ἄσπετον ὕλην
καὶ σὺ λιθ' ὕπτω χαῖρε πολυσάφυλ' ὦ Διόνυσε·
πόσσ' ἤμασ χαίροντα δι' ὥρεα αὐτις ἐκέλευσε·
ἐκ δ' αὖθ' ὡράων, εἰς τὰς πολλὰς ἐνιαυτός·

ΕΙΣ ΑΡΤΕΜΙΝ·

Ἄρτεμιν ἀείδω χρυσηλάκατον κελαδεινήν,
παρθένον ἁγνήν, ἐλαφηβόλον ἰοχέαιραν,
αὐτοκασιγνήτην χρυσαόρι Ἀπόλλωνος·
ἣ κατ' ὄρη σκιόεντα, καὶ ἀκριόεντα νάπεσσιν,
ἄγρῃ τρεπομένη, παχρύσεα τόξα τιτήνῃ·
πέμπουσα ὀδύνας βέλε'· τρομέει δὲ κάρηνα
ὑψηλῶν ὀρέων· ἰαχὴ δ' ἔπεται δασέων ὕλη,
δεινὸν ὑπὸ κλαγγῆς θηρῶν φρίσσει δὲ θάλασσα,
πόντος τ' ἐγθυόεις· ὑπὸ δ' ἄλκιμον ἦτορ ἔχυσα,
πάντῃ ἐπισπέρχεται θηρῶν ὀλέκουσα γενέθλην,
αὐτὰρ ἐπὴν τρφδὴν θηροσκόπος ἰοχέαιρα,
ἐφρήνῃ δὲ νόον χαλάσασ' ὀϊστοπέα τόξα,
ἔρχεται ἐς μέγα δῶμα κασιγνήτοιο φίλοιο
φοίβου Ἀπόλλωνος· Δελφῶν ἐς πίονα δῆμον,
μουσῶν καὶ χαρίτων κλυτὸν χορὸν ἀρτιθέουσα·
ἔνθα κατακρεμάσασα παλίντονα τόξα καὶ ἰούς,
ἁψῖδας χαρίεντα περὶ χροΐ κόσμον ἔχουσα,

ἐξάρχουσα χορούς· αἱ δ' ἀμβροσίην ὄπ' ἰεῖσαι
ὑμνοῦσι λητὼ καλλίσφυρον, ὡς τέκε παῖδας
ἀθανάτων βουλῇ τε, καὶ ἔργμασιν ἔξοχ' ἀρίστους.
χαίρετε τέκνα διὸς καὶ λητοῦς ἠυκόμοιο·
αὐτὰρ ἐγὼν ὑμέων, καὶ ἄλλης μνήσομ' ἀοιδῆς·

ΕΙΣ ΑΘΗΝΑΝ·

Αλλά δ' ἀθηναίην κυδρὴν θεὸν ἄρχο
π μ' ἀείδειν·
γλαυκῶπιν πολύμητιν, ἀμείλιχον ἦτορ
ἔχουσαν·
παρθένον αἰδοίην ἐρυσίπτολιν ἀγκήεσαν,
τριτογενῆ· τὴν αὐτὸς ἐγείνατο μητίετα ζεὺς,
σεμνῆς ἐκ κεφαλῆς· πολεμήϊα τεύχε' ἔχουσαν
χρύσεα παμφανόωντα σέβας δ' ἔχε πάντας ὁρῶντας
ἀθανάτους· ἡ δὲ πρόσθεν διὸς αἰγιόχοιο
ἐσυμένως ὤρουσεν ἀπ' ἀθανάτοιο καρήνου,
σείσασ' ὀξὺν ἄκοντα· μέγας δ' ἐλελίζετ' ὄλυμπος
δεινὸν ὑπ' ὀμβρίμης γλαυκώπιδος· ἀμφὶ δὲ γαῖα,
σμερδαλέον ἰάχησεν· ἐκινήθη δ' ἄρα πόντος
κύμασι πορφυρέοισι κυκώμενος· ἔσχετο δ' ἄλμη
ἐξαπίνης· στῆσεν δ' ὑπερίονος ἀγλαὸς υἱός,
ἵππους ὠκύποδας δηρὸν χρόνον· εἰσότε κούρη
εἵλετ' ἀπ' ἀθανάτων ὤμων θεοείκελα τεύχη
παλλὰς ἀθηναίη· γήθησε δὲ μητίετα ζεὺς·
καὶ σὺ μὲν οὕτω χαῖρε διὸς τέκος αἰγιόχοιο.
αὐτὰρ ἐγὼ, καὶ σεῖο καὶ ἄλλης μνήσομ' ἀοιδῆς.

ΕΙΣ ΕΣΤΙΑΝ·

ε Στίη ἣ πάντων ἐν δώμασιν ὑψηλοῖσιν
ἀθανάτων τε θεῶν χαμαὶ ἐρχομένων
τ' ἀνθρώπων,
ἕδρην αἰδίον ἔλαχε πρεσβηΐδα τιμήν·
καλὸν ἔχουσα γέρας καὶ τιμήν· οὐ γὰρ ἄτερ σοῦ
εἰλαπίναι θνητοῖσιν, ἵν' οὐ πρώτη, πυμάτη τε
ἱστίη ἀρχόμενος σπένδει μελιηδέα οἶνον·
καὶ σύ μοι ἀργειφόντα διὸς, καὶ μαιάδος υἱὲ
ἄγγελε, τῶν μακάρων χρυσόῤῥαπι δῶτορ ἑάων,
ναίετε δώματα καλὰ φίλα φρεσὶν ἀμήλοισιν
ἵλαος ὢν, ἐπάρηγε σὺν αἰδοίῃ τε φίλῃ τε
ἑστίῃ· ἀμφότεροι γὰρ ἐπιχθονίων ἀνθρώπων,
εἰδότες ἔργματα καλὰ, νόῳ θ' ἕσπεσθε καὶ ἥβῃ·
χαῖρε κρόνου θύγατερ σύ τε, καὶ χρυσόῤῥαπις ἑρμῆς.
αὐτὰρ ἐγὼν ὑμέων τε, καὶ ἄλλης μνήσομ' ἀοιδῆς·

ΕΙΣ ΓΗΝ ΜΗΤΕΡΑ ΠΑΝΤΩΝ·

γ Αἶαν παμμήτειραν ἀείσομαι ἠΰθέμεθλον,
πρεσβίστην· ἣ φέρβει ἐπὶ χθονὶ πάνθ' ὁπό-
σ' ἐστίν,
ἠμὲν ὅσα χθόνα δῖαν ὑπέρχεται· ἠδ' ὅσα πόντον,
ἠδ' ὅσα πωτῶνται· τάδε φέρβεται ἐκ σέθεν ὄλβου·
ἐκ σέο δ' εὔπαιδές τε, καὶ εὔκαρποι τελέθουσι·
πότνια σοῦ δ' ἔχεται δοῦναι βίον, ἠδ' ἀφελέσθαι
θνητοῖς ἀνθρώποισιν· ὅδ' ὄλβιος ὅν κε σὺ θυμῷ
πρόφρων τιμήσεις· τῷ τ' ἄφθονα πάντα πέρ ἐστί·
βρίθει μέν σφιν ἄρουρα φερέσβιος, ἠδὲ κατ' ἀγροὺς

κτήνεσιν εὐθηνᾷ· οἶκος δ' ἐμπίμπλαται ἐσθλῶν·
αὐτοὶ δ' εὐνομίῃσι πόλιν κατὰ καλλιγύναικα
κοιρανέουσ', ὄλβος δὲ πολὺς, καὶ πλοῦτος ὁπηδεῖ·
παῖδες δ' εὐφροσύνῃ νεοθηλέϊ κυδιόωσι,
παρθενικαί τε χοροῖς πρὸς ἔσαν θέσιν εὔφρονι θυμῷ
παίξουσαι, χαίρουσι κατ' ἄνθεα μαλακὰ πόιης·
οὕς κε σὺ τιμήσεις σεμνὴ θεὰ ἄφθονε δαῖμον.
χαῖρε θεῶν μήτηρ, ἄλοχ' οὐρανοῦ ἀστερόεντος·
πρόφρων δ' ἀντ' ᾠδῆς βίοτον θυμήρε' ὄπαζε.
αὐτὰρ ἐγὼ καὶ σεῖο, καὶ ἄλλης μνήσομ' ἀοιδῆς·

ΕΙΣ ΗΛΙΟΝ·

Λιον ὑμνεῖν αὖτε διὸς τέκος ἄρχεο
μοῦσα
ἣ καλλιόπη φαέθοντα· τὸν εὐρυφάεσσα
βοῶπις
γείνατο γαίης παιδὶ καὶ οὐρανοῦ ἀστερόεντος·
γῆ με γὰρ εὐρυφάεσσαν ἀγακλειτὴν ὑπερίων
αὐτοκασιγνήτην· ἣ οἱ τέκε κάλλιμα τέκνα
ἠῶτε ῥοδόπηχυν, ἐϋπλόκαμόν τε σελήνην,
ἠέλιον τ' ἀκάμαντ', ἐπιείκελον ἀθανάτοισιν·
ὃς φαίνει θνητοῖσι, καὶ ἀθανάτοισι θεοῖσιν,
ἵπποις ἐμβεβαώς· σμερδνὸν δ' ὅ γε δέρκεται ὄσσοις,
χρυσῆς ἐκ κόρυθος· λαμπραὶ δ' ἀκτῖνες ἀπ' αὐτοῦ
αἰγλῆεν στίλβουσι· παρὰ κροτάφων τε παρειαὶ
λαμπραὶ ἀπὸ κρατὸς χαρίεν κατέχουσι πρόσωπον
τηλαυγὲς· καλὸν δὲ περὶ χροΐ λάμπεται ἔσθος,
λεπτουργὲς πνοιῇ ἀνέμων· ὑπὸ δ' ἄρσενες ἵπποι·
ἔνθ' ἄρ ὅ γε στήσας χρυσόξυγον ἅρμα, καὶ ἵππους,

θεαπέσιος πέμπησι δι' ἠρατῆ ὠκεανόνδε·
χαῖρε ἄναξ· πρόφρων δὲ βίον θυμήρε' ὄπαζε.
ἐν σέο δ' ἀρξάμενος, κλήσω μερόπων γένος ἀνδρῶν
ἡμιθέων· ὧν ἔργα θεοὶ θνητοῖσιν ἔδειξαν.

ΕΙΣ ΣΕΛΗΝΗΝ.

Ηνην ἀείδω ταυσίπτερον, ἔστε μοῦσαι
ἡδυεπῆς νύμφαι κρονίδαο διὸς ἴστορες ὠδῆς.
ἧς ἄπο, αἴγλη γαῖαν ἐλίσσεται ἠρανόθεν δὲ
κρατὸς ἀπ' ἀθανάτοιο πολὺς δ' ὑπὸ κόσμος ὁρωρεν
αἴγλης λαμπόμενος· σέλβει δ' ἀμάμπετος ἀὴρ
χρυσέῃ ἀκτῖνι· φαεσίμβροτος δ' ἐνιαύσιος ἐστι.
οὗ θ' ἁλὶ ἀπ' ὠκεανοῖο λοεσσαμένη χροὰ καλόν,
εἵματα ἑσσαμένη πλατυτέα δῖα σελήνη,
ζεύξαμένη πώλους ἐριαύχενας αἰγλήεντας,
ἑσπερίοις προτέρωσ' ἐλάσῃ κραναῖσι κολώναις·
ἐσπερίη δὲ μέσος, ὅτε πλήθει μέγας ὄρνυς,
λαμπρότατα τ' αὐγὰ τότ' ἀεξομένης τελέθωσιν
ἠρανόθεν· τέκμωρ δὲ βροτοῖς, καὶ σῆμα τέτυκται
τῇ ῥά ποτε κρονίδης ἐμίγη φιλότητι καὶ εὐνῇ·
ἣ δ' ὑποκυσαμένη πανδήμιν γήνατο κοῦρον,
ἐν πρέπες εἶδος ἔχουσαν ἐν ἀθανάτοισι θεῆσι·
χαῖρε ἄνασσα θεὰ λευκώλενε δῖα σελήνη,
πρόφρων εὐπλόκαμος· σέο δ' ἀρχόμενος κλέα φωτῶν
ἄσομαι ἡμιθέων· ὧν κλείουσ' ἔργματ' ἀοιδοί,
μουσάων θεράποντες ἀπὸ στομάτων.

Μφὶ διὸς κύρας ἐλιπώπιδ' ἔσσε
μῶσαι
τωνδαρίδας, λήδης κλλισφύρου
ἀλλαὰ τέκνα·
κὰ τυράβ' ἵππ' ὁδάμων, κὰ ἀμώμητον πολυδεύκεα·
τὰς ὑ τὸ ταὔγετε πορυφὴ ὄρεος μεγάλοιο,
μιχθεῖσ' ὐ φιλότητι κελαινεφὲς κρονίωνι
σωτῆρας τέ μι παῖδας ἐπιχθονίων ἀνθρώπων,
ὠκυπόρων τε νεῶν, ὅτε τε σὺν χιονι ἄελλαι
χειμέριαι κὰτὰ πόντον ἀμείλιχον ὄρνυσι νηῶν
ὐχόμενοι κλέεσι διὸς κύρας μεγάλοιο,
ἄρνειαν λευκῆσιν ἐπ' ἀκρωτήρια βάντε
πρύμνης· πὴν δ' ἄνεμός τε μέγας κ' νῦ μαθαλάσσης,
θῦκε ὑποβρυχίην· ὅτι ἐξαπίνης ἐράνησαν
ξεθῆσι πῦρ αὐσαι, δι' αἰθέρος αἰὲν ἰόντε·
αὐτίκα δ' ἀργαλέων ἀνέμων κατέπαυσαν ἀέλλας
νύματα δ' ἐσόρεσαν λευκῆς ἁλὸς ἐν πελάγεσι
ναύτας, σήματα κλὰ πόνε σφίσιν· διὸ ἐθέντε,
γήθησαν· παύσαντο δ' ὀϊζυροῖο πόνοιο.
χαίρετε τωνδαρίδαι ταχέων ἐπιβήτορε ἵππων·
αὐτὰρ ἐγὼν ὑμέων, κὰ ἄλλης μνήσο μοίσης.

ΕΙΣ ΞΕΝΟΥΣ.

Ἰδεῖσθε ξενίων μεχρι μένον ἠδὲ δόμοιο.
οἳ πόλιν αἰπυμνὴν νύμφης ἐρατωπίδος ἦρυ
ναίετε· δῶρα δ' ἔδυσιν· ἥς πόδα νείατον ὑψιπόμοιο
ἀμβρόσιον πίνοντε ὕδωρ ξανθῆς ποταμοῖο
ἔβρυ κλαὶ ῥέοντος, ὃν ἀθάνατος τέμετο ξεῖ·

ΤΕΛΟΣ ΤΩΝ ΤΟΥ ΟΜΗΡΟΥ
ΥΜΝΩΝ.

Regiſtrum Iliadis.

A B C D E F G H I K L M N O P
Q R S T V X Y Z AA BB CC DD
EE FF GG HH II KK LL MM *Omnes quaterni præter ultimum qui eſt ternus.*

Regiſtrum Vlyſſeæ.

a b c d e f g h i K l m n o p q r ſ.
t u x y z A B C D E F G H I *Omnes quaterni præter ultimum duernum.*

VENETIIS IN AEDIBVS ALDI, ET ANDREAE ASVLANI SOCERI.

M. D. XVII.

MENSE IV
NIO


AL
DVS

Homeri poetæ

vita, &

insignia

D. D. Rev. Pat. Martino

Luthero Θεολόγῳ

Philip.

Melanchthon

ΗΡΟΔΟΤΟΥ ΑΛΙΚΑΡΝΑΣΣΕΟΣ ΕΞΗΓΗΣΙΣ ΠΕΡΙ ΤΗΣ ΤΟΥ ΟΜΗΡΟΥ ΓΕΝΕΣΙΟΣ ΚΑΙ ΒΙΟΤΗΣ

Ἡ

Ρόδοτος ὁ Ἁλικαρνασσεὺς περὶ ὁμήρου γενέσιος, καὶ ἡλικίης καὶ βιοτῆς τάδε ἐξεύρηκε, ζητήσας ἐπ' ἐξελθεῖν ἐς τὸ ἀληθὲς ἐσαεῖ· ἐπεὶ δὲ ἡ πάλαι ἀπολιῶτις νῦν μὲν ἐπίκλεα, συνῆλθον ἐν ταυτῷ πανηγυρίσαι θεοὶ Ἑλληνικοὶ, καὶ δὴ καὶ ἐς μαγνησίαν, ἄλλοι τέ τινες, καὶ μελάνιππος ὁ ἰθαγενέος τὸ κρίθωνος, ὃ πολύφορος, ἀνὴρ βραχέα τῆ βίᾳ ἔχων· ὅτος δὲ ὁ μελάνιππος ἐγκύμονα ἐν τῇ νύμῃ πῶ θυγατέρα ὁ μύρηος, ᾗ αὐτῷ γίνεται ἐκ ποίης θῆλυ τέκνον, ᾧ ὄνομα τίθεται κριθὶς· καὶ αὐτὸς μὲν ὁ μελάνιππος καὶ ἡ γυνὴ αὐτοῦ, ἐτελεύτησαν τὸν βίον· ἡ θυγατέρα ἐπιτρέπει ἀνδρὶ ᾧ ἐχρῆτο μάλιστα κλεάνακτι τῷ ὀρείῳ· χρόνῳ δὲ πρόϊόντος συνέβη τὴν παῖδα μιγεῖσαν ἀνδρὶ λαφραίως ἐν γαστρὶ ἔχειν· τὸ μὲν δὴ πρῶτα ἐλάνθανεν· ἐπεὶ δὲ ἤσθετο ὁ κλεάναξ ἦλθε τῇ συμφορῇ, καὶ κελεύσας λιθοβολῆσαι τὴν κρινθὶν χωρὶς πάντων ἐν αὐτῇ μεγάλῃ εἶχεν, ἐπιλεγόμενος τῶν ἀχαιῶν τοῖς πολίτας· προβεβλῆσθαι δὲ περὶ αὐτῆς τάδε· ἐτύγχανον οἱ νυμφίοι πρὸ τοῦ τὸν ἕρμειον πόλεμον μυχὸν πρὸς μέγαν ἐβέλων καταπῆσαι τῆς ἑωυτοῦ γυναικὸς ἐπώνυμον· ἦν γὰρ αὐτῇ τὸ ὄνομα σμύρνη· ὀδὶ θυσίῃ ἦν τοῖς νύμφαις ἐπὶ τοῖσι πρώτοις θεραπαίνῃσι τῆς δεσμήτορος κρατοῦ

ἔχων τὸ βίβ, ἐν ταῦθα ὑπεκτίθεται ὁ κλεάνακξ τὴν κρι
θηΐδα πρὸς ἰσμηνίην τὸν βοιώτιον τ ἀπόϊκων λελοχό
τα ὃς ἔτυχεν αὐτῷ ἐὼν ἑταῖρος τα μάλιστα· χρόνῳ δὲ
προϊόντος, ἐξελθοῦσα ἡ κριθὶς μετ' ἄλλων γυναικῶν
πρὸς ἑορτήν τινα ἐπὶ τὸν ποταμὸν κολλιχόον μέλιτα,
ἄδηλον ἐπίκοιος ἔσα τίκτ ἐν ὄμπρῳ ὑπὸ φλοὶ, ἀμφὶ δὲ
δορκάδα· κὴ τίθεται ὄνομα τῷ παιδὶ μελησιγένεα ἀπὸ
τῦ ποταμῦ τ ἐπωνυμίαν λαβοῦσα· τέως μὲν ἡ κρι
θὶς ἦν παρὰ τῷ ἰσμηνίᾳ· προϊόντος δὲ τῦ χρόνου ἐξῆλ
θε καὶ ἀπ' ἐργασίης χερῶν ὥρμι μένη ἔβρεφε τὸ παι
δίον κὴ ἐωυτῇ, ἄλλοτε παρ' ἄλλων ἔργα λαμβάνουσα,
κὴ ἐπαίδευσε τὸν παῖδα ἀφ' ὧν ἐδύνατο· ἦν δέ τις ἐν
σμύρνῃ τῦτον τ χρόνου φίλιος τῦ νομα, πᾶσας γραμ
ματα κὴ τὴν ἄλλην μουσικὴν διδάσκων πᾶσαν· ὅτε
μισθῦται τ κριθιΐδα, ὧν μοῦνος, ἐριωρῦσαι αὐ
τῷ ἐρειά τινα, ἃ παρὰ τ παίδων ἐς μισθὸς ἐλάμβα
νεν· ἡ δὲ παρ' αὐτῷ ἐργάζετο πολλῷ κοσμίῳ κὴ σωφρο
συνῃ πολλῇ χρωμένη, κὴ τῷ φιλίῳ κάρτα ἀρέσκετο,
τέλος δὲ προσηνέγκατο αὐτῇ λόγους τοιούτους ἐωυτῷ συ
νοικῆν, ἀλλ' ἅτε πολλὰ λέγων, οἷς μὲν ᾤετο προσάξε
σθαι· καὶ ἔτι πρὸς τὸ παιδὸς ὑὸν ποιούμενος· κὴ ὅτι γρα
φῆς κὴ παιδευθεὶς παρ' αὐτῷ ἄξιος λόγου ἔσαι· ἐώρα δ' τ
παῖδα ὄντα σωφρονέοντα κὴ κάρτα λυφυέα, ἐς τ ἀνέπεισεν
αὐτὴν ποιεῖν ταῦτα· ὁ πᾶις ἦν τε φύσιν ἐὺ ἔχων ἀγαθὴν,
ἐπιμελήστε κὴ παιδεύσιος προσηνομένης, αὐτίκα πολ
λὸν τ πάντων ὑπερῆκε· χρόνῳ δ' ἐπιγενομένῳ ἀνδρὸς μέ
νος, ἀδὴν τ φιλίου πρεσβύτερος ἦν ἐν τῇ διδασκαλίᾳ· κὴ
ὕστερος ὁ φίλιος ἐτελεύτησε τ βίον κατὰ πάντα τῷ
παιδὶ· ἀπόλλωνι ὑστέρῳ κὴ κριθὶς ἐτελεύτησεν· ὁ δὲ με
λησιγένης ἐπὶ τῇ διδασκαλίᾳ καθῆστο ἐωυτ ἡγεμὼ

μένος, μᾶλλον ὑπὸ τῶν ἀνθρώπων ἑωρᾶτο· καὶ αὐτοῦ θωυ
μασταὶ καθειστήκεισαν οἵτε ἐγχώριοι, καὶ τῶν ξένων οἱ ἐσα-
πικνεόμενοι· ἐμπόριον καὶ ἦν ἡ σμύρνη, καὶ σῖτος ἐξήγε
το πολὺς αὐτόθι ἐκ τῆς ἐπικειμένης χώρας δαψιλέως
κάρτα ἐσαγόμενος ἐς αὐτήν· οἱ οὖν ξένοι ὁκότε παύσοιν
το τῶν ἔργων ἀπεσχόλαζον παρὰ τῷ μελησιγενεῖ ἐγκα
θίζοντες· ἦν δὲ ἐν αὐτοῖς τότε καὶ μέντης ναύκληρος
ἀπὸ τῶν περὶ λευκάδα τόπων καταπεπλευκὼς ἐπὶ σῖτον
ἔχων ναῦν, πεπαιδευμένος τε ἀνὴρ ὡς ἐν ἐκείνῳ τῷ
χρόνῳ καὶ πολυίστωρ, ὅς μιν ἔπεισε τὸν μελησιγενῆ μεθ'
ἑωυτοῦ πλεῖν καταλύσαντα τὴν διδασκαλίαν, μισθόν
τε λαμβάνοντα, καὶ τὰ δεόντα πάντα, καὶ ὅτι χώρας
καὶ πόλιας θεήσασθαι ἄξιον εἴη αὐτῷ ἕως νέος ἐστί· καί
μιν οἴομαι μάλιστα τούτοισι προαχθῆναι· ἴσως γὰρ καὶ
τῇ ποιήσει τότε ἐπενόει ἐπιθήσεσθαι· καταλύσας δὲ
τὴν διδασκαλίαν, ἐναυτίλλετο μετὰ τοῦ μέντεω, καὶ ὅ
που ἑκάστοτε ἀφίκοιτο πάντα τὰ ἐπιχώρια διεωρᾶτο·
καὶ ἱστορέων ἐπευθάνετο· εἰκὸς δὲ μιν ἦν καὶ μνημό-
συνα πάντων γράφεσθαι· ἀνακομιζόμενοι δὲ ἐκ τυρση
νίας καὶ τῆς ἰβηρίης, ἀπικνέονται εἰς ἰθάκην· καὶ τῷ με
λησιγενεῖ συνέβη νοσήσαντι τοὺς ὀφθαλμοὺς κάρτα δει
νῶς ἔχειν, καὶ αὐτὸν θεραπείης ἕνεκα πλεῖν μέλλων εἰς
τὴν λευκάδα καταλιπεῖν ὁ μέντης παρὰ ἀνδρὶ φίλῳ ἑ
ωυτοῦ ἐς τὰ μάλιστα μέντορι τῷ ἀλκίμου ἰθακησίῳ
πολλὰ δεηθεὶς ἐπιμελείην ἔχειν· ἐπαναπλώσας δὲ ἀνα
λήψεσθαι αὐτὸν· ὁ δὲ μέντωρ ἐνοσήλευσεν αὐτὸν ἐκτενέ
ως· καὶ καὶ τοῦ βίου ἀρκεόντως εἶχε, καὶ ἤκουεν οὗ ἐς δικαιο
σύνην τε καὶ φιλοξενίην μακρῷ μάλιστα τῶν ἐν ἰθάκῃ
ἀνδρῶν· ἐνταῦθα συνέβη τῷ μελησιγενεῖ περὶ ὀδυσσέ
ως ἐξιστορῆσαι πυθέσθαι· οἱ μὲν δὴ ἰθακήσιοι λέγουσι τότε

μιν παρ' ἑωυτοῖς τυφλωθῆναι, ὡς δὲ ἐγώφημι τότε μὲν ὑγιῆ γενέσθαι· ὕστερον δὲ ἐν κολωφῶνι τυφλωθῆναι· συνομολογοῦσι δέ μοι καὶ κολοφώνιοι τούτοις· ὁ δὲ μέν τις ἀναπλέων ἐκ τῆς λευκάδος προσέσχεν εἰς τὴν ἰθάκην καὶ ἀνέλαβε τὴν μελησιγενέα, χρόνον τε ἐπὶ συχνὸν συμπρηιέπλει αὐτῷ, ἀποικομένῳ, δὲ εἰς κολοφῶνα συνέβη πάλιν νοσήσαντα τοὺς ὀφθαλμοὺς, μὴ δύνασθαι διαφυγεῖν τὴν νόσον, ἀλλὰ τυφλωθῆναι ἐν ταῦθα. ἐκ δὲ τῆς κολοφῶνος τυφλὸς ἐὼν ἀπικνέεται εἰς τὴν σμύρναν, καὶ οὕτως ἐπεχείρει τῇ ποιήσει· χρόνου δὲ προϊόντος ἐν τῇ σμύρνῃ ἄπορος ἐὼν τοῦ βίου, διενοήθη ἀπικέσθαι εἰς κύμην· πορευομένος δὲ διὰ τοῦ ἕρμου πεδίου, ἀπικνέεται εἰς νέον τεῖχος ἀποικίην κυμαίων· ᾠκίσθη δὲ τοῦτο τὸ χωρίον ὕστερον κύμης ἔτεσιν ὀκτώ· ἐν ταῦθα λέγεται αὐτὸν ἐπιστάντα ἐπὶ σκυτεῖόν τι εἰπεῖν πρῶτα τὰ ἔπεα τάδε

Α ἰδεῖσθε ξενίων κεχρημένον ἠδὲ δόμοιο,
οἳ πόλιν αἰπεινὴν κύμην ἐριώπιδα κούρην
ναίεται σαρδήνης πόδα νείατον ὑψικόμοιο·
ἀμβρόσιον πίνοντες ὕδωρ θείου ποταμοῖο
ἕρμου δινήεντος, ὃν ἀθάνατος τέκετο ζεύς·

Η δὲ σαρδήνη ὄρος ἐστὶν ὑπερκείμενον τοῦτε ἕρμου ποταμοῦ καὶ τοῦ νέου τείχους, τῷ δὲ σκυτεῖ ὄνομα ἦν τύχιος. ἀκούσαντι δὲ τῶν ἐπέων, ἔδοξεν αὐτῷ δέξασθαι τὸν ἄνθρωπον· ἠλέησε δὲ ἀλγέοντα τυφλὸν καὶ μεθέξειν ἔφη τῶν παρεόντων· ὁ δὲ ἐσῆλθε, καθήμενος δὲ ἐν τῷ σκυτείῳ παρεόντων καὶ ἄλλων τήν τε ποίησιν αὐτοῖς ἐπεδείκνυτο, ἀμφιάρεώ τε τὴν ἐξελασίαν τὴν εἰς θήβας, καὶ τοὺς ὕμνους τοὺς εἰς θεοὺς πεποιημένους αὐτῷ, καὶ περὶ τῶν λεγομένων ὑπὸ τῶν παρεόντων ἐς τὸ μέσον γνώμας ἀποφαινόμενος θωύματος ἄξιος ἐφαίνετο εἶναι τοῖς ἀκού-

σι· τέως μὲν δὴ κατεῖχεν ὁ μελησιγενὴς περὶ τὸν νέον τεῖ-
χος ἀπορέων τὸ ποιήσιός τε τοῦ βίου πέρι μηχανὴν ἔχων· ἐπεὶ
δὲ τοῦτον ἐξεῖς μέχρις ἐπ' ἐμοῦ τὸν χῶρον, ἐν ᾧ καὶ
τίζων τὰ ἐπέων πέρι ἐπίσκεψιν ἐποιέετο καὶ χάρτα ἔσε-
βοντο τὸν τόπον, ἐν ᾧ κάλαμος ἐπεφύκει, ἦν ἐπένοι ἔφα
σαν ἀφ' οὗ ὁ μελησιγενὴς ἦλθεν αὐτοῖς πεφυκέναι· χρό-
νῳ δὲ προϊόντος ἀπόρως κείμενος καὶ μόλις πὼ φορὴν
ἔχων ἐπενοήθη εἰς τὴν κύμινν ἀπικέσθαι, ὅτι βέλτιον
πρήξει· μέλλων δὲ πορεύεσθαι τὰ δὲ τάδε ἔπεα λέγει·

Α ἴθι πόδες με φέροιεν ἐὺ ἀιδρείων πόλιν ἀνδρῶν·
τῶν γὰρ καὶ θυμὸς πρόφρων καὶ μῆτις ἀρίστη.

Α τὸ δὲ τὸ νέον τεῖχος πορευόμενος ἀπίκετο εἰς τὴν κύ-
μινν διὰ λαρίσιης τὴν πορείαν ποιησάμενος· ἦν γὰρ ἔ-
στως αὐτῷ εὐπορώτατον· καὶ ὡς κυμαίοι λέγουσι τῷ φρυ
γίης βασιλῆϊ μίδῃ τῷ γορδίεω δεινὲν πνεθέντων πνευμάτων
αὐτὸν ποιεῖ καὶ ἐπίγραμμα τόδε, ἐπεὶ καὶ νῦν ἐπὶ τῇ
σήλῃ τῇ μνήματος τοῦ γορδίεω ἐπιγέγραπται.

Χ αλκῆ παρθένος εἰμὶ, μίδης δ' ἐπὶ σήματι κεῖμαι·
ἐς τ' ἂν ὕδωρ τε ῥέοι, καὶ δένδρεα μακρὰ τεθήλοι·
ἠελίου τ' ἀνίοντα λάμποι λαμπρά τε σελήνη·
αὐτοῦ τῇ δὲ μένουσα πολυκλαύτῳ ἐπὶ τύμβῳ·
ἀγγελέω παρίουσι μίδης ὅτι τῇ δὲ τέθαπται.

Κ ατίξων δὲ ἐν τοῖς λέγουσι τῶν χρόνων ἐν τῇ κύμῃ ὁ
μελησιγενὴς τὰ ἔπεα τὰ ποιηθέντα ἐποιήσατο, καὶ αὐτοῦ θωυμα
σαι κατιστήσασαν, γνώμῃ δὲ ὅτι ἀποδέχονται αὐτοῦ τὰ ποιή
σιν οἱ κυμαῖοι, καὶ εἰς συμβουλίην ἑλκων τοὺς ἀκούοντας,
λόγους πρὸς αὐτοὺς τοιούσδε προσήνεικε λέγων ὡς εἰ βέ
λοιεν αὐτὸν δημοσίῃ φρέσιν, ἐπικλεέστατόν σφι τὴν
πόλιν ποιήσει· τοῖς δὲ ἀκούουσι βουλομένοις τελέειν ταῦτα

καὶ αὐτοὶ παρῆνεον ἐλθόντα ἐπὶ πὼ βυλὴν μενδῆναι τῶ βυλευτέων καὶ αὐτοὶ ἔφασαν συμπρήξειν· ὁ δ' ἐπῆλθε τοῦτοῖς καὶ βυλῆς συλλεγομένης ἐλθὼν ἐπὶ τὸ βυλῆον, ἔδεξε τὸ ἐπὶ τῇ τιμῇ τούτῳ καθεζόμενος ἀπαγαγὼν αὖ τὸν ἐπὶ πὼ βυλὴν· ὁ δ' ὑποδεξάμενός τε καὶ ἐφ' καιρὸς ἦν ἀπήγαγε· κατασὰς δ' ὁ μελησιγενὴς ἔλεξε πρὶ τῆς δοφῆς τὸν λόγον, ὃν καὶ ἐντοῦς λέξας ἔλεγεν ὡς ἦ εἶπεν ἐξελθὼν ἐκάθητο· οἱ δ' ἐβυλεύοντο ὅτι χρεὼν εἴη ἀποκρίνασθαι αὐτῷ· προυμάμενος δ' τὸ ἀπόλοντος αὐτὸν, καὶ ἄλλων ὅσοι τῶ βυλευτέων ἐντοῦς λέξας ἐπήκοοι ἐγένοντο τῶ βυλευτέων ἕνα λέγεται ἐναντιωθῆναι τῇ γνώμῃ αὐτοῦ, ἄλλα τε πολλὰ λέγοντα, καὶ ὡς φ τὸς ὁ μῆρος δόξει δέφειν αὐτοῖς ὅμιλον πολλόν τε καὶ ἀχρεῖον ἔξεσιν· ἐντοῦθεν δὲ καὶ τοῦνομα ὁ μῆρος ἐπεκράτησε τῷ μελησιγενεῖ ἀπὸ τοῦ συμβορῆς, οἱ γὰρ κυμαῖοι τὸς τυφλὸς ὁμήρους λέγουσιν· ὥς τε πρότερον ὀνομαζομένου αὐτοῦ μελησιγενέος τὸ γενέσθαι τοῦνομα ὅμηρος· καὶ οἱ ξένοι δὲ νίνεγκαν ὅ τε μνήμην αὐτοῦ ἐποιῆσαν ἐτελοῦντα δ' ὧδε ὁ λόγος τῷ ἄρχοντι μὴ δέφειν τὸν ὅμηρον· ἔλοχε δέ πως τῇ ἄλλῃ βυλῇ ἐπελθὼν ὁ ἐπιστάτης καὶ παρεζόμενος αὐτῷ δηλήσασθαι τὴν ἐναντιωθέντας λόγους τῇ χρήμῃ αὐτοῦ, καὶ τὰ δόξαντα τῇ βυλῇ· ὁ δ' ὡς ἤκουσεν ἐσυμφόρηνέ τε καὶ λέγει τὰ ἕπεα τάδε·

Ὦ ξεῖν' ἦ μὲν ἄεσιν ἐνὶ πατρίδι κῦρμα γενέσθαι
νήπιον αἰδοίης ἐπὶ γούνασι μητρὸς ἀταλλῶν
ἦν ποτ' ἐπὶρρώσαν βυλῇ θοὸς ἀγλαὸ χοιο
λαοὶ φρήκωνος μάρνων ἐπιβήτορι ἵππων.
ὁ πλότροι μαλερῷο πυρὸς κρίνοντι ἄρηα
ἀμολίδα σμύρνην ἁλιγείτονα ποντιάκτων,
ἦν τε δὶ ἀγλαὸν ἔασιν ὕδωρ ἐρῷο μέλιτος,

ἔνθεν ἀπορνύμεναι κῦραι διὸς ἀγλαὰ τέκνα,
ἀθελέτην κλείσασε δῖαν χθόνα καὶ πόλιν ἀνδρῶν·
οἱ δ' ἀπανηνάθην ἱερὴν ὅπα φωνὴ ἀκουσθήν.
ἀφραδίην τῶν μέν τε παθὼν τις φράζεται ὠφὶς·
ὅσφιν ὀνήσιν ἐμὸν διεμήσαο πότμον.
κῦρα δ' ἐγὼ τήν μοι θεὸς ὤπασε γυμνόμενῳ περ,
τλήσομαι ἀκράαντον φέρων τετληότι θυμῷ·
ἐδέ τι μοι φίλα γοῦνα μένειν ἱεραῖς ἐν ἀγυιαῖς,
πύμνης ὀρμαίνουσι, μέγας δέ μοι θυμὸς ἐπείγει
δῆμον δ' ἀμοιβαῖον ἰέναι ὀλίγον περ ἐόντα.

Μ ετὰ τοῦτο ἀπαλλάσσεται ἐκ τῆς πύμνης δὲ φωνήσας κυ
μαίοις ἐπαρησάμενος μηδένα ποιῆσαι δόκιμον ἐν τῇ
χώρᾳ γενέσθαι, ὅτις κυμαίης ἐπαγλαΐζει· ἀπικόμενος
δὲ δ' φωνήσας τῷ αὐτῷ τρόπῳ ἐβιότευσε, ἐπεὶ ἐνόησε
πύμνος ἐν ταῖς λέσχαις κατίζων· ἐν δὲ τῇ φωνήσαι τὸν
τὸν χρόνον θεσπίσιος τις ἦν γράμματα διδάσκων
τοὺς παῖδας, ἀνὴρ ἀκρήνιος· κατανοήσας δὲ τὸ ὁ μέρος
τῆς ποίησιν, λόγους τοιούσδε αὐτῷ προσήνεγκε, φὰς εἶναι
μοῦσαν βραπάνην καὶ βέφρην αὐτὸν ἀναλαβών, εἰ ἐθέ
λοι ἄγε τε ποιημένα εἰπεῖν αὐτῷ τῶν ἑτέων ἀναχάψα-
σθαι· καὶ ἄλλα ποιῶν, πρὸς ἑωυτὸν ἀναφέρειν ἀεὶ· τῷ δὲ
ὁ μέρῳ ἀκούσαντι, ἔδοξε ποιητέα εἶναι ταῦτα· ὠνεῖται
δὲ ἦν τῶν ἀναγκαίων καὶ θεραπείης· διατρίβων δὲ πα
ρὰ τῷ θεσπίδι, ποιῇ ἐλιάδα πλὴν ἐλάσσω, ἢ ἡ δρόμ·

Ι λιον ἀείδω, καὶ δαρδανίην ἐὐπωλον·
ἧς πέρι πολλὰ πάθον δαναοὶ θεράποντες ἄρηος·

Κ αὐτὰρ μένην φωνὴν ἦν φασιν οἱ φωκῆς ὅ μέρον
ταῦ αὐτοῖσι ποιῆσαι· ἐπεὶ δὲ τήν τε φωκῆδα καὶ τἆλ
λα πάντα παρὰ τοῦ ὁ μέρου ὁ θεσπίδιος ἐμάθαν, με
ταβαίνει ἐκ τῆς φωνήσης ἀπαλλάσσεσθαι τὸ ποιησιν βέλτιον

τοῦ ὁμήρου ἐξιδιώσασθαι, καὶ οὐκ ἔτι ὁμοίως ἐν ἐπιμε
λείᾳ εἶχε τὸν ὅμηρον· ὁ δὲ λέγει αὐτῷ τὰ ἔπεα τάδε·

Θεστορίδης θνητοῖσι ἀνωΐστων πολέων περ,
οὐδὲν ἀφραστότερον πέλεται νόον ἀνθρώποισιν·

Ὁ μὲν δὴ θεστορίδης ἐκ τῆς φωκαίης ἀπηλλάγη εἰς τὴν χί
ον· καὶ διδασκαλίην κατεσκευάσατο, καὶ τὰ ἔπεα ἐπιδει
κνύμενος ὡς ἑωυτοῦ ἐόντα, ἐπαινόντε πολλὸν εἶχε, καὶ
ὠφελεῖτο· ὁ δὲ ὅμηρος, πάλιν τὸν αὐτὸν τρόπον διῃτᾶτο
ἐν τῇ φωκαίῃ, ἀπὸ τῆς ποιήσιος τὴν βιοτὴν ἔχων· χρό
νῳ δὲ οὐ πολλῷ μετέπειτα ἄνδρες χῖοι ἔμπειροι ἀπί
κοντο εἰς τὴν φωκαίην· ἀκούσαντες δὲ τῶν ἐπέων τοῦ ὁ-
μήρου, ἃ πρότερον ἀκηκόεσαν πολλάκις ἐν τῇ χίῳ τοῦ
θεστορίδεω, ἐξήγγελλον ὅτι ἐν τῇ χίῳ τις ἐπιδεικνύμε
νος τὰ ἔπεα ταῦτα γραμμάτων διδάσκαλος κάρτα
πολλὸν ἔχει· ὁ δὲ ὅμηρος κατενόησεν, ὅτι θεστορίδης ἂν
εἴη· καὶ παντὶ θυμῷ ἐσπούδαξεν εἰς τὴν χίον ἀπικέσθαι·
καταβὰς δὲ ἐπὶ τὸν λιμένα, εἰς μὲν τὴν χίον οὐ καταλαμ
βάνει οὐδὲν πλοῖον πλέον· εἰς δὲ τὴν ἐρυθραίαν τινὲς ἐπὶ
ξύλου παρεσκευάζοντο πλεῖν· καλῶς δὲ εἶχε τῷ ὁμήρῳ
δι' ἐρυθραίης τὸν πλοῦν ποιήσασθαι, καὶ προσελθὼν ἔχρη
ζε παρὰ τῶν ναυτέων δέξασθαι αὐτὸν σύμπλουν, πολ-
λά τε προσαγωγὰ λέγων, οἷς σφέας ἔμελλε πείσειν·
τοῖς δὲ ἔδοξε δέξασθαι αὐτὸν, καὶ ἐκέλευον ἐσβαίνειν
εἰς τὸ πλοῖον· ὁ δὲ ὅμηρος πολλὰ ἐπαινέσας αὐτοὺς ἐ-
σέβη· καὶ ἐπεὶ ἕζετο, λέγει τὰ ἔπεα τάδε·

Κλῦθι ποσειδάων μεγαλοσθενὲς ἐννοσίγαιε,
εὐρυχόρου μεδέων ἠδὲ ξανθοῦ ἑλικῶνος·
δὸς δ' οὖρον καλὸν καὶ ἀπήμονα νόστον ἰδέσθαι
ναύταις, οἳ νηὸς πομποὶ ἠδ' ἀρχοί ἔασι·
δὸς δ' εἰς ὑπώρειαν ὑψικρήμνοιο μίμαντος,

ἀλδσῖον μ᾽ ἐλθόντα βροτῶν ὁσίων γε κυρῆσαι·
φῶτά τε τισάμενν ὃς ἐμὸν ὁσὸν ἡρδοπόυσας·
ὠφύσαο ξῆνα ξένιον ξενίην τε προπέ᾽μν.

Ε᾽ πεὶ δὲ ἀπίκοντο ὐπλοίσαντος ὃς πὼ ἐρυθραίην, τό τε
ὄμπρος πὼ αὐλὴν ἐπὶ τῷ πλοίῳ ἐποίησαν· τῇ δὲ ὑστε
ραίῃ, ἔχρηζε τῶν ναυτέων τινὰ ἐγκήσκεσθαι αὐτῷ ὃς πὼ
πόλιν· οἱ δὲ σωπέπεμψαν ἕνα αὐτῶν· πορευόμνος δὲ
ὄμπρος ἐπεὶ ἐτύγχε τῆς ἐρυθραίης πραχθῆς καὶ ὀργνῆς
ἐδσης, φθέγγεται τά δὲ ἕπεα.

Γ ότνια χθὴ πάνδωρε δότειρα μελίφρονος ὄλβυ·
ὡς ἄρα δή τοῖς μὸν φωτῶν αὐχβος ἐτύχβνς·
τοῖσι δὲ δύσβωλος καὶ χρηχεῖ ὅῖς ἐκολώβνς.

Α πινόμενος δὲ ὃς πὼ πόλιν τῶν ἐρυθραίων ἐπιρώπσε
πρὶ τὸ ὃς πὼ χίον πλέ· καί τινος προσελθόντος αὐτῷ
τῶν ἑωρακότων ἐν τῇ φωναίῃ καὶ ἀπασαμένυ, ἔμελ
ξεν αὐτῷ σωτξυρεῖν αὐτῷ πλοῖον ὅπως ἂν εἰς πὼ χί
ον διαβαίη· ἐκ τοῦ δὴ τὸ λιμένος ὐδὲν ἦν ἀπόστολον· ἄγῳ
γ᾽ αὐτὸν ἔνθα τῶν ἁλιέων τὰ πλοῖα ὁρμίξεται καὶ πως
ἂν τυγχάνει μέλλυσι τισὶ διαπλῶν ὃς τὴ χίον, ὧν ἐδέε
το προσελθὼν ὁ ἄγων αὐτὸν ἀναλαβεῖν τὸν ὄμπρον· οἱ
δὲ ὐδένα λόγον ποισάμνυοι ἀγήγοντο· ὁ δὲ ὄμπρος
φθέγγεται τά δὲ τὰ ἕπεα.

Ν αὐτα πονηπόροι συρῇ ἐναλίγκιοι ἄτη·
πῶ χάσιν ἀθρήσιν βίον δύσβιλον ἐχοντβς.
αἰδῶθε ξενίοιο διὸς σέβασ ὑψιμέδοντος·
δεινὴ γὰρ μέτοπις ξενίη διὸς, ὅς κ᾽ ἁλίπτατα.

Α ναχθέϊσι δὲ αὐτοῖς, σωέβη ἐναντίη ἀνέμυ γενομένη
παλινδρομῆσαι, καὶ ὃς τὸ χωρίον ἀναδχαμεῖν, ὅθεν ἄνε
χόντο· καὶ τὸν ὄμπρον ἀναλαβεῖν καθήμνον ἐπὶ τῆς
κυμαντῆς· μαθὼν δὲ αὐτὸς πεπαλινδρομηκότας,

ἔλεξε τά δι.

Υ μᾶς ὦ ξένοι ἔλαβεν ὁ ἄνεμος ἀντίος γενόμενος· ἀμὴ ἔτι καὶ νῦν με δέξασθαι, καὶ ὁ πλοῦς ὑμῖν ἐσται.

Ο ἱ δι ἁλιεῖς ὑπομεταμελήσαντες γενόμενοι ὅτι τὸ πρότερον ἐδέξαντο, εἰπόντος ὅτι τὸ κατὰ μικρὸν ἦν ἐβέλοι συμπλεῖν ἐπέλυσαν ἐσβαίνειν· καὶ ὕστως ἀναλαβόντος αὐτὸν ἀνήχθησαν, καὶ ἱστία ἐπῆραν ἐκ λιμένος· οἱ δὴ ἅλες πρὸς ἑσπέραν ἐβάπτισαν· ὁ δι ὅμηρος τὴν νύκτα ἐπὶ τῆ ἁλιακῆ κατέμενε· τὴν δι ἡμέραν πορευόμενος, καὶ πλανώμενος ἀπίκετο εἰς τὸ χωρίον, ὃ πίτυς καλεῖται· καὶ ταῦθα αὐτῷ ἀναπαυομένῳ τὴν νύκτα, ἐπιπίπτει κρατὸς πίτυος· ὃν δὴ μετεξέτροι τρόβιλον οἱ δὲ κῶνον καλέουσιν· ὁ δι ὅμηρος φθέγεται τὰ ἔπη τάδε·

Ἄ λλη τίς σε πάτρη ἀμείνονα κρατὸν ἴησιν·
ἔνθα σίφνος ἄριστος ἐπὶ χθονίοισι βροτοῖσιν
ἔασται αὖτ' ἄμειν· νεβρήνιοι ἄνδρες ἔχωσι.

Τ ὰ μὴ νεβρήνια τοῦτον τὸν χρόνον κτίζειν· οἱ δι μαῖοι παρεσκευάζοντο πρὸς τὴν ἰδρυν καὶ γίνεται αὐτόθι σίφνος· ὃν τοῦθεν ἀνασχὼν ὅμηρος, ἐπορεύετο κατὰ φωνήν τινα αὐτῶν νεμομένων· ὡς δι ὑλάκτεον αὐτῷ οἱ κύνες, ἀνέκραγεν· ὁ δι γλαῦκος ὡς ἤκουσε τῆ φωνῆς (ἦν δὲ τοῦτο ὄνομα τῷ νέμοντι τὰς αἶγας) ἐπέδραμεν ὀβολέως· τάς τε κύνας ἀνεκαλεῖτο, καὶ ἀπεσόβησεν ἀπὸ τῆ ὁμήρου· ἐπὶ πολὺν δὴ χρόνον ἐν θυμάτι ἦν, ὅπως τυφλὸς ὤν, μόνος ἀπίκοιτο ἐς τοιούτους χώρους· καὶ ὅτι βέλων, προσελθὼν τέ μιν ἴστορεεν ὅστις τε ἦν, καὶ τίνι φόρτῳ ἀπίκοιτο ἐς τόπους ἀοικήτους, καὶ ἀσπβέα χωρία καὶ τίνος κεχρημένος εἴη· ὁ δι ὅμηρος αὐτῷ πᾶσαν τὴν ἑωυτῆ πάθην κατελεγόμενος· εἰς ὅσον προηγάγετο, ἦν τε ὡς ἐθε

κεν ὃ δ' ἀγνώμων ὁ γλαῦκος ἀναλαβὼν δὲ αὖθις ἀνήγε
γεν ἐπὶ τὸν σαθμόν· πῦρ δὲ ἀνακαύσας, δεῖπνον παρα
σκευάζει· καὶ παραθεὶς δειπνεῖν ἐκέλευεν ὁ γλαῦκος· τῶν
δὲ ἰχθύων μὴ ἐθιόντων καὶ ὑλακτούντων δειπνέοντα κα-
θάπερ εἰώθεσαν, λέγει πρὸς τὸν γλαῦκον ὅμηρος τὰ ἑξῆ
τια τάδε.

Γ λαῦκε πέπων ἐπιὼν ὁ ἕπος τὸ ἐνὶ φρεσὶ θήσω.
πρῶτον μὲν νυσὶ δεῖπνον ἑτ' αὐλείῃσι βύρῃσι
δόναι· ὡς γὰρ ἄμεινον, ὃ δὴ καὶ πρῶτον ἀνύει
ἀνδρὸς ἐπὶ χρομένα· καὶ δὲ ἔρκεα θηρὸς ἰόντος.

Τ αῦτα ἀκούσας ὁ γλαῦκος, ἥδη τῇ παραινέσῃ· καὶ ἐν θώ
ματι ἔχειν αὐτόν· δειπνήσαντες δὲ διὰ λόγων εἰστέωντο·
ἀπικνεομένη δὲ ὁ μήρυς τήν τε πλάνην τὴν ἑωυτῆς, καὶ τὰς πό
λεις ἃς ἐσαπίκοιτο, ἐκπλήκτους ἦν ὁ γλαῦκος ἀκούων·
καὶ τό τε λοιπὸν ἐπεὶ ὥρη κοίτης ἦν, ἀνεπαύετο· τῇ δ' ὑστεραίῃ
μενοίδην ὁ γλαῦκος πρὸς τὸν δεσπότην πορεύθηναι σὺ
μανέων τὰ περὶ ὁ μήρου· ἐπιβέψας δὲ σῷ σωβόλῳ
νέμειν τὰς αἶγας, τὸν ὅμηρον καταλήπει ἐνδον ἐπὼν
πρὸς αὐτὸν, ὅτι διὰ ταχέων πορεύσομαι· καταβὰς δὲ
ὃς βολιανόν, (ἔστι δὲ πλησίον τὸ χωρίον τοῦτο·) καὶ συγγε
νόμενος τῷ δεσπότῃ, ἀπηγέετο ὑπὲρ ὁ μήρυ πᾶσαν
τὴν ἀλήθειαν, περί τε αὐτοῦ τῆς ἀφίξεως ἐν θώματι
ποιεύμενος, ἠρώτεέ τε ὅ, τι χρὴ ποιέειν περὶ αὐτός· ὁ δὲ δὴ
γαλλὸν προσίετο τῶν λόγων κατειπόντος τε τὰ γλαύκυ,
ὡς ἄφρονος ἐόντος, καὶ τοὺς ἀνατιμέρους δεχομένους καὶ πρὸ
φοντος· ἐκέλευσε ὁ ὅμως τὸν ξεῖνον ἄγειν πρὸς ἑαυτόν·
ἐλθὼν δὲ πρὸς τὸ ὅμηρον, μηχάσατο ταῦτα ὁ γλαῦκος
καὶ ἐκέλευσε πορεύεσθαι τὸν τον· ὕτω δὴ μὲν ἔπρεξαν· ὁ δὲ
ὅμηρος ἤθελε πορεύεσθαι· ἀναλαβὼν δὲ αὖθις ὁ γλαῦ
κος, ἤγαγε πρὸς τὸν δεσπότην· διὰ λόγων δὲ ἰὼν τῷ ὁμῷ

ρῳ ὁ χῖος εὑρίσκει ἐόντα δεξιὸν, καὶ πολλῶν ἔμπειρον, ἔπειθέ τε αὐτὸν μένειν, καὶ τῶν παιδίων ἐπιμέλειαν ποιεῖσθαι· ἦσαν γὰρ τῷ χίῳ παῖδες ἐν ἡλικίῃ· τούτους οὖν αὐτῷ παρατίθησι παιδεύειν· ὁ δὲ ἔπρησσε ταῦτα· καὶ τοὺς κέρκωπας καὶ βατραχομυομαχίαν· καὶ ἐπικιχλίδας, καὶ τἆλλα πάντα ὅσσα παίγνιά ἐστιν ὁ μήρου ἐν ταῦθα ἐποίησε παρὰ τῷ χίῳ ἐν βολισσῷ· ὥς τε καὶ ἐν τῇ πόλει πρεβόητος ἤδη ἐγένετο· ἐν τῇ ποιήσει· καὶ ὁ μὲν θεστορίδης ὡς τάχιστα ἐπύθετο αὐτὸν παρεόντα ᾤχετο ἐκπλέων ἐκ τῆς χίου· χρόνου δὲ προϊόντος, δεηθεὶς τοῦ χίου πορεῦσαι αὐτὸν εἰς τὴν χίον ἀπίκετο εἰς τὴν πόλιν· καὶ διδασκαλεῖον κατασκευασάμενος ἐδίδασκε παῖδας τὰ ἔπεα· καὶ κάρτα δεξιὸς ἐδόκεεν εἶναι τοῖς χίοις καὶ πολλοὶ θωυμασταὶ αὐτοῦ καθεστήκεσαν· συλλεξάμενος δὲ βίον ἱκανὸν γυναῖκα ἔγημεν, ἐξ ἧς αὐτῷ θυγατέρες δύω ἐγένοντο· καὶ ἡ μὲν αὐτῶν ἄγαμος ἐτελεύτησε, τὴν δὲ συνώκισεν ἀνδρὶ χίῳ· ἐπιχειρήσας δὲ τῇ ποιήσει, ἀπέδωκε χάριν, ἣν εἶχε· πρῶτον μὲν μέντορι τῷ ἰθακησίῳ ἐν τῇ ὀδυσσείᾳ, ὅτι μιν κάμνοντα τοὺς ὀφθαλμοὺς ἐν ἰθάκῃ ἐνοσήλευεν ἐκτενῶς, τοὔνομα αὐτοῦ ἐναρμόσας ἐς τὴν ποίησιν· ὀδυσσέως τε ἑταῖρον φὰς εἶναι ποιήσας ὀδυσσέα ὡς ἐς τροίην ἔπλεε, μέντορι ἐπιτρέψαι τὸν οἶκον ἐόντι ἰθακησίων ἀρίστῳ, καὶ δικαιοτάτῳ· πολλαχῇ δὲ καὶ ἄλλῃ τῆς ποιήσεως τιμῶν αὐτὸν, τὴν ἀθηνᾶν ὁπότε ἐς λόγον τινι καθίσταται τῷ μέντορι εἰκείην ποιεῖ· ἀπέδωκε δὲ καὶ φημίῳ τῷ ἑαυτοῦ διδασκάλῳ τροφεῖα, καὶ διδασκαλεῖα ἐν τῇ ὀδυσσείᾳ, μάλιστα ἐν τοῖς δὲ τοῖς ἔπεσι·

Κ ἤρυξ δ' ἐν χρυσὶν κίθαριν περικαλλέ' ἔθηκε
φημίῳ, ὅς τε πολλὸν ἐκαίνυτο πάντας ἀείδων·

καὶ πάλιν·

αὐτὰρ ὁ φορμίζων ἀνεβάλλετο καλὸν ἀείδειν·

Μέμνηται δὲ καὶ τῆ ναυκληρίῃ, μετ' ἣν ἐπλεύσθη-
σεν, καὶ ἤδη πόλιός τε πολλῆς, καὶ χώρης· ᾧ ὄνομα
ἦν μέντης, ὢν τοῖς ἔπεσι τοῖς δε·

Μέντης ἀγχιάλοιο δαΐφρονος υἱὸς ἀγαυὸς
ἦγε δὲ ταφίοισι φίλην ἐπὶ πατρίδα γαῖαν·

Λέσβῳ δὲ χάριν καὶ τυχὶ τῷ σκυτῇ, ὃς ἐδέξατο αὖ-
τὸν ἐν τῷ νεὼ τέχνει προσελθόντα πρὸς τὸ σκυτεῖον,
ἐν τοῖς ἔπεσι καταξύσας ἐν τῇ Ἰλιάδι τοῖς δε·

Ἴασον δ' ἐξ ὕθεν ἦλθε φέρων σάκος ἠΰτε πύργον
χάλκεον, ἐμβαθύδοντον· ὃ δὴ τύχιος κάμε τοῦχον
σκυτοτόμων ὃ χ' ἅριστος ὕλῃ ἔνι δαιδάλα ναίων·

Ἀλλὰ δὴ τῆς ποιήσεως ταύτης οὐδαμοῦ μέχρις τρίτε
πλοῦ ἰωνίαν, καὶ ὃς πλὴν ἑλλάδα ἦδη τρὶ αὐτὸς λόγος
ἀναφέρεται· καὶ δοκέων ἢ ἐν τῇ χίῳ, καὶ οὐδαμοῦ μέων τρὶς
πλοῦ ποίησιν ἀπικνεομένων πολλῶν, συνεβάλλοντο δὴ ἐν
τυχάνοντες αὐτῷ ὃς πλὴν ἑλλάδα ἀπικέσθαι· ὁ δὲ προ
σδεξάμενον λόγον, καὶ χάρτα ἐπεύμενος ἀποδώμησαι,
καταναύσας δὲ ὅτι ὃς ἦν ἄρχος πολλαὶ καὶ μεγάλαι
ἦσαν οὐλοχύται πεποιημέναι, ὃς ἐκ τοσούτου ἤδη ἐμποιῆ
ὃς πλὴν ποίησιν, ὃς μὴν Ἰλιάδα πλὴν μεγάλην ἐρεχθέα
μεγαλωσύνῃ ἐν νεῶν καταλόγῳ τὰ ἔπεα τάδε·

Ἧμον ἐρεχθῆος μεγαλήτορος ὃν ποτ' Ἀθήνη
θρέψε διὸς θυγάτηρ, τέκε δὲ ζείδωρος ἄρουρα·

καὶ ἐν σφετέρῃσι αὐτῶν μὴ νεμέσθαι, ὡς πάντων εἰη ἄριστος
τάξαι περὶ ἐν σφέων καὶ ἱπποτάσαι, ἐν τοῖς δὲ τοῖς ἔπε-
σιν εἶπε·

Τῶν αὖθ' ἡγεμόνευεν υἱὸς πετεῶο μενεσθεὺς
τῷ δ' οὔπω τις ὁμοῖος ἐπιχθονίων γένετ' ἀνὴρ

κοσμῆσαι ἵππους τε, καὶ ἀνέρας ἀσπιδιώτας·

Α ἴαντα δὲ τὸν τελαμῶνος, καὶ σαλαμινίους ἐν νεῶν κα-
ταλόγῳ ἔταξε πρὸς ἀθηναίους λέγων τάδε·

Α ἴας δ' ἐκ σαλαμῖνος, ἄγεν δυοκαίδεκα νῆας
στῆσε δ' ἄγων ἵν' ἀθηναίων ἵσταντο φάλαγγες·

Ἐ ς δὲ τὴν ὀδυσσείην τάδε ἐποίησεν, ὡς ἀθηνᾶ ἐς λόγους
ἐλθοῦσα τῷ ὀδυσσεῖ ἐς τὴν ἀθηναίων πόλιν ἀπίκετο,
τιμῶσα ταύτην τῶν ἄλλον πολλῷ μάλιστα·

Ι κετο δ' ἐς μαραθῶνα, καὶ εὐρυχόρους ἐς ἀθήνας·
δῦνε δ' ἐρεχθῆος πυκινὸν δόμον·

Ε μποιήσας δὲ ἐς τὴν ποίησιν ταῦτα, καὶ παρασκευασά
μενος, ἐς ἑλλάδα βουλόμενος ποιεῖσθαι τὸν πλοῦν προ=
σίσχει τῇ σάμῳ· ἔτυχον δὲ οἱ ἐκεῖσε τὸν τότε καιρὸν
ἄγοντες ἑορτὴν ἀπατούρια· καί τις τῶν σαμίων ἰδὼν
τὸν ὅμηρον ἀπιγμένον, πρότερον αὐτὸν ἐπιστάμενος ἐν
χίῳ ἐλθὼν ἐς τοὺς φράτορας διηγήσατο, ἐν ἐπαίνῳ με-
γάλῳ ποιούμενος αὐτόν· οἱ δὲ φράτορες ἐκέλευον ἄγειν
αὐτόν· ὁ δὲ ἐντυχὼν τῷ ὁμήρῳ ἔλεξεν· ὦ ξένε, ἀπατού-
ρια ἀγούσης τῆς πόλιος, καλοῦσι σε οἱ φράτορες οἱ ἡμέ
τεροι συνεορτάσοντα· ὁ δὲ ὅμηρος ἔφη ταῦτα ποιήσειν·
καὶ ἤει μετὰ τοῦ καλέσαντος· πορευόμενος δὲ ἐγχρίμ-
πτεται γυναξὶ κουροτρόφῳ θυούσαις ἐν τῇ τριόδῳ· ἡ δὲ
ἱέρεια εἶπε πρὸς αὐτὸν δυσχεράνασα τῇ ὄψει· ἄνερ ἀπὸ
τῶν ἱερῶν· ὁ δὲ ὅμηρος ἐς θυμόντε ἔβαλε τὸ ῥηθὲν, καὶ
ἤρετο τὴν ἄγοντα, τίς τε εἴη ὁ φθεγξάμενος, καὶ τίνι θεῶν
ἱερὰ θύεται· ὁ δὲ αὐτῷ διηγήσατο, ὅτι γυνὴ εἴη κουρο
τρόφῳ θύουσα· ὁ δὲ ἀκούσας λέγει τάδε τὰ ἔπεα·

Κ λῦθί μοι εὐχομένῳ κουροτρόφε, δὸς δὲ γυναῖκα
τήνδε νέων μὲν, ἀνήνασθαι φιλότητα καὶ εὐνὴν,
ἥδ' ἐπιτερπέσθω πολιοκροτάφοισι γέρουσιν·

ὧν ὥρη μὲν ἀπαμβλύνεται θυμὸς δὲ μενοινᾷ·
Ἐπεὶ δὲ ἦλθεν ἐς τὴν φρήτρην, καὶ τοῦ οἴκου ἔνθα δὴ ἐδαίν-
νυντο ἐπὶ τὸν οὐδὸν ἔστη· οἱ μὲν λέγουσι καιομένου πυρὸς
ἐν τῷ οἴκῳ· οἱ δέ φασι τότε ἐκκαῦσαι σφᾶς, ἐπειδὴ
ὅ μηρος τὰ ἔπεα εἶπεν·
Ἀνδρὸς μὲν στέφανος παῖδες, πύργοι δὲ πόληος·
ἵπποι δ' ἐν πεδίῳ κόσμος, νῆες δὲ θαλάσσης·
χρήματα δ' αὔξει οἶκον ἀτὰρ γεραροὶ βασιλῆες
ἥμενοι εἰν ἀγορῇ κόσμος τ' ἄλλοισιν ὁρᾶσθαι,
αἰθομένου δὲ πυρὸς γεραρώτερος οἶκος ἰδέσθαι·
Ἐ ἰσελθὼν δὲ κατακλιθεὶς, ἐδαίννυτο μετὰ τῶν φρατό-
ρων· καὶ αὐτὸν ἐτίμων, καὶ ἐν θωύματι εἶχον· καὶ τότε
μὲν τὴν κοίτην αὐτοῦ ἐποιήσατο ὅ μηρος· τῇ δὲ εἰσαύριον
ἀποπορευόμενον ἰδόντες κεραμέες τινὲς, κάμινον
ἐγκάοντες κεράμου λεπτοῦ, προσεκαλέσαντο αὐτὸν, πε-
πυσμένοι ὅτι σοφὸς εἴη, καὶ ἐκέλευόν σφιν ἀεῖσαι, φά-
μενοι δώσειν αὐτῷ τοῦ κεράμου, καὶ ὅτι ἂν ἄλλο ἔχω-
σιν· ὁ δὲ ὅ μηρος ἀείδει αὐτοῖς τὰ ἔπεα τάδε, ἃ καλεῖ-
ται κάμινος·
Ἐ ἰ μὲν δώσετε μισθὸν, ἀείσω ὦ κεραμῆες·
δεῦρ' ἄγ' ἀθηναίη, καὶ ὑπείρεχε χεῖρα καμίνου·
εὖ δὲ μελανθεῖεν κότυλοι, καὶ πάντα μάλ' ἱρὰ·
φρυχθῆναί τε καλῶς, καὶ τιμῆς ὦνον ἀρέσθαι·
πολλὰ μὲν εἰν ἀγορῇ πωλεύμενα, πολλὰ δ' ἀγυιαῖς,
πολλὰ δὲ κερδῆναι· ἡμῖν δὲ δὴ ὥς σφι νοῆσαι·
ἢν δ' ἐπ' ἀναιδείην τρεφθέντες ψεύδη ἄρησθε,
συγκαλέω δ' ἤπειτα καμίνῳ δηλητῆρας·
σὺν τριβ' ὁ μῶς μάραγόν τε, καὶ ἄσβεστον, ἠδὲ γ' ἄβακτον
ὠμόδαμόν θ' ὃς τῇ δε τέχνῃ πολλὰ κακὰ πορίζει·
πεῖθε πυραίθουσαν καὶ δώματα, σὺν δὲ κάμινος

πᾶσα

πᾶσα κινηθείη κραμέων μέγα κωκυσάντων·
ὡς γάθος ἵππειν βρύκει, βρύκοι δὲ κέμινος·
πάντ' ἐντοσθ' αὐτῆς κραμίῃσι λεπτὰ ποιῆσα.
δῶρα, καὶ ἠελίῳ θυγάτηρ πολυφάρμακα πίρνη·
ἄγρια φάρμακα βάλλε, κέκυκε, δ' αὐτούς τε, καὶ ἔργα·
δῶρα δὲ καὶ χείρων ἀγέτω πολέας πενταύρους
οἷσιν ἡ ρακλείους χεῖρας φύζαν, οἵτ' ἀπόλοντο·
τύπτοιεν τὰ δὲ ἔργα κακῶς, τύπτοι δὲ κέμινον·
αὐτοὶ δ' οἱ μώξαντες ὁρώατο ἔργα πονηρά·
γηθήσω δ' ὁρόων αὐτῶν κακοδαίμονα τέχνην.
ὃ δ' ἐξύπερ πύλῃ περὶ ταῦτα πᾶν τὸ πρόσωπον
φλεχθείη· ὡς πάντες ἐπίσωνται ἄλσιμα ῥέζειν.

Γ αρχει μάχων δ' ἐν τῇ σάμῳ τάδε νεμνίας πρὸς πο
ρυδόμους πρὸς τὰς οἰκείας τὰς ἀδαμουσάτας·
λαμβανέ τι ἀείδων τὰ ἔπεα τά δε, κἀκ χαλᾶται ἐρεσιώ
νη· ὧδήνησε δ' αὖτον καὶ συμπαρῆσαν ἀεὶ τῶν παίδων
τινὲς τῶν ἐχωρίων.

Δ ὦμα προσερραπόμεθ' ἀνδρὸς μέγας δωματένοιο·
ὃς μέγα μὲν δώσατα μέγα δὲ βρέμει ὄλβιος ἀεί·
αὐτὰρ ἀνακλίνεσθε βύραι· πλοῦτος γὰρ ἔσεισι
πολλὸς σὺν πλούτῳ δὲ καὶ εὐφροσύνη τεθαλυῖα.
εἰρήνη τ' ἄγαθή, ὄσσαι θ' ὑγίεαι μετὰ μὲν εἶη·
κυρβαίη δ' ἀεὶ κατὰ κρατὸς ἔρποι μάχα.
τῷ παιδὸς δ' ὑγιὴ κατὰ διφράδα βήσεται ὑμμιν·
ἡμίονοι δ' ἄξουσι κρατάπεδα δὲ τό δε δῶμα.
αὖτη δ' ὑφαίνοι ἵστον ἐπηλέκτρῳ βεβαΐα.
νῦν μαί σοι νῦν μαι ἐναύσιος, ὥς τε χελιδών·
ἔσηκεν προβύροισι, καὶ εἰ μὲν τοι δώσεις, εἰ δὲ μή,
ἔχ' ἐσήξομαι, ὃ δὲ σωοικήσον τε θά δ' ἥλθομεν.

Η δεκὴ τὰ δὲ ἐν τῇ σάμῳ, ἐπὶ πολλὼ χρόνου ὑπὸ τὸ παῖ

δων, ὅτε ἀγείροιεν ἐν τῇ ἑορτῇ τοῦ ἀπόλλωνος· ἀρχομένου δὲ τοῦ ἔαρος, ἐπεχείρησε πλεῖν ὁ μηρος εἰς τὰς ἀθήνας ἐκ τῆς σάμου· καὶ ἀναχθεὶς μετάτινων εἰσχωρίων ἀπηνέχθη εἰς τὴν ἴον, καὶ ὡρμίσθησαν οὐ κατὰ πόλιν, ἀλλ' ἐπ' ἀκτῆς· συνέβη δὲ τῷ ὁμήρῳ κατὰ πολύ τι ἄρξασθαι μαλακῶς ἔχειν· ἐκβὰς δὲ ἐκ τοῦ πλοίου, ἐκοιμᾶτο ἐπὶ τῆς κυματωγῆς ἀδυνάτως ἔχων· πλείους δὲ ἡμέρας ὁρμούντων αὐτῶν δι' ἀπλοΐην καταβαίνοντες αἰεί τινες τῶν ἐκ τῆς πόλιος ἀπεσχόλαζον παρὰ τῷ ὁμήρῳ, καὶ ἐν θωΰματι εἶχον αὐτὸν ἀκούοντες αὐτοῦ· τῶν δὲ ναυτέων, καὶ τῶν ἐκ τῆς πόλιος τινῶν ἡμένων παρὰ τῷ ὁμήρῳ κατέπλωσαν παῖδες ἁλιῆες τὸν τόπον, καὶ ἐκβάντες, ἐκ τοῦ ἀκατίου προσελθόντες αὐτοῖς, τάδε εἶπον· ἄγετε ὦ ξένοι· ἐπακούσατε ἡμέων, ἂν ἄρα δύνησθε διαγνῶναι, ἅσσ' ἂν ὑμῖν εἴπωμεν· καί τις τῶν παρεόντων ἐκέλευε λέγειν· οἱ δὲ εἶπαν· ἡμεῖς ἅσσα εἵλομεν, κατελίπομεν, ἃ δὲ μὴ εἵλομεν· φέρομεν· οἱ δὲ φασιν μέτρῳ εἰπεῖν αὐτοὺς, ἅσσ' ἕλομεν, λιπόμεσθα· ἃ δ' οὐχ ἕλομεν, φορόμεσθα· οὐ δυναμένων δὲ τῶν παρεόντων γνῶναι τὰ ῥηθέντα, διηγήσαντο οἱ παῖδες ὅτι ἁλιεύοντες, οὐδὲν ἐδύναντο ἑλεῖν· καθήμενοι δὲ ἐν γῇ ἐφθειρίζοντο· καὶ ὅσους μὲν ἔλαβον τῶν φθειρῶν, κατέλιπον· ὅσους δὲ μὴ ἐδύναντο, ἐς οἴκους ἀπεφέροντο· ὁ δὲ ὅμηρος ἀκούσας ταῦτα, ἔλεξε τὰ ἔπεα τάδε

Τοίων γὰρ πατέρων ἐξ αἵματος ἐκγεγάατε,
οὔτε βαθυκλήρων, οὔτ' ἄσπετα μῆλα νεμόντων·

Ἐκ δὲ τῆς ἀσθενείας ταύτης συνέβη τὸν ὅμηρον τελευτῆσαι ἐν ἴῳ, οὐ παρὰ τὸ μὴ γνῶναι τὸ παρὰ τῶν παίδων ῥηθὲν ὡς οἴονταί τινες, ἀλλὰ τῇ μαλακίῃ· τελευτήσας δὲ ἐν τῇ ἴῳ αὐτοῦ ἐπ' ἀκτῆς ἐτάφη ὑπότε τῶν συμπλεόν=

των καὶ τῶν πολιτέων, ὅσοι ἐν διαλογῇ ἐγένοντο αὐτῷ, καὶ τὸ ἐλεγεῖον τό σε ἐπέγραψαν ἵππαι ὕστερον χρόνῳ πολλῷ, ὡς ἤδη ἡ τε ποίησις ἐξεπεπώκει, καὶ ἐθαυμάζετο ὑπὸ πάντων, ἃ δὲ ὁ μήρ ἐστιν·

Ἐ νθά δε τὴν ἱ ρὴν κεφαλὴν κατὰ γαῖα κάλυπτει,
ἀνδρῶν ἡρώων κοσμήτορα θῆον ὅμηρον.

Ὅ τι δ' ἦν ἀόλδε ὅμηρος, καὶ ὅτε ἤκμασε, καὶ ὅτε ἐφωράδη, τοῖς τε ἁρμένοις δεδήλωταί μοι, καὶ δὴ καὶ τοῖς δε τευμαί ρεσθαι παρέχει ἄνδρα τοιηπλῶν τηλικοῦτον ἡνός ἐστι τῶ νομί μων τ' παρὰ τοῖς ἀνθρώποις ποιοῦντα δὲ τῶν ποίη σιν, ἤτοι τὰ καλλιστα ἐξευρόντα ποιέμν, ἢ τὰ ἑαυτῷ πάρα ἐόντα· ἢ δη τοῦτο τὸ ἐν θέν δε αὐτοὶ τ' ἐπέων ἀνύοντδ κρινεῖτε· ἱ βοποιῆιν γὰρ, ἢ τῶν κρατίστην ἐξευρὼν ἐποίησεν, ἢ τ' ἑαυτῷ παρίδα προσήκασαν· λέγ δ' ὧδε.

Α ὖ ἐρυσαν μὲν πρῶτα καὶ ἐσφαξαν καὶ ἔδειραν·
μηρύς τ' ἐξέταμον, κατά τε κνίσῃ ἐκάλυψαν·

δι' πυχα ποιήσαντδ, ἐπ' αὐτῶν δ' ὠμοβόησαν.

Ἐ ν τούτοις ὑπὲρ ὀσφύος ἤδεν ἔριται, ἢ ἔστα ἱ ρὰ χρέονται· μονώτατον γὰρ τῶν ἑλλήνων τὸ αἰολικὸν ἔθνος, ἐκαίει ὀσφῦ· δηλοῖ δὲ καὶ ἐν τοῖς δε τοῖς ἔπεσιν, ὅτι αἰολδε ὢν τοῖς νόμοις τοῖς τότων ἐχρῆτο.

Κ αῖε δ' ἐπὶ σχίζης ὁ γέρων, ἐπὶ δ' αἴθοπα οἶνον
λᾶβε· νέοι δὲ παρ' αὐτὸν ἔχον πεπτώβολα χερσίν.

Α ἰολέδε γὰρ μόνοι τὰ σπλάγχνα ἐπὶ πέντε ὀβελῶν ὀπτῶσιν· οἱ δὲ ἄλλοι ἕλληνες, ἐπὶ ῥώων· καὶ ὀνομάζουσιν οἱ αἰολῆς τὰ πέντε, πέμπε· τὰ δὲ ὧν ὑπὲρ πῆς γενέσιος καὶ τελευτῆς, καὶ βίε, δεδήλωταί μοι· πρὸς δὲ ἥλικίης πῆς ὁ μήρε, ἐκ τῶν δ' ἄντις ἐπισκεπόμενος, ἀκριβῶς, καὶ ὀρθῶς λογίζοιτο· ἀπὸ γὰρ πῆς ἐς Ἴλιον στρατίας

ἦν ἀγαμέμνων, καὶ λαοὶ ἄριστοι ἦγραν ἔτεσιν ὕστερον ἑκκαιδεκάτῳ, καὶ εἰκοστῷ, λέσβος ὑπ' Αἰόλῃ καὶ τὰ πόλις, πρότερον ἐδδομηκόντα ἀπόλις· μετὰ δὲ λέσβον οἰκισθεῖσαν ἔτεσιν ὕστερον ἑκατοστῷ νύμφη, ἡ Αἰολίωτις, καὶ φρικώτις καὶ λεσβία ὑπ' Αἰόλῃ· μετὰ δὲ νύμφην, ὀκτωκαιδεκάτῳ ἔτεσιν ὕστερον σμύρνα ὑπὸ νυμφῶν καὶ τωνικίδη, καὶ ἐν τῷ τῷ χίνεται ὅμηρος· ἀφ' ἧς δὲ ὅμηρος ἐγένετο ἔτεσι ἑξακόσια ἑικοσιδύο μέχρι τῆς ξέρξεω διαβάσεως, ἣν στρατεύσας βάρβαρος ἐπὶ τὰς ἑλλήνας, καὶ βούξας ἐν ἑλλήσποντον διέβη ἐκ τῆς ἀσίας ἐς τὴν εὐρώπην· ἀπὸ δὲ τούτου ῥᾳδίως ἔστιν ἀριθμῆσαι ἐν χρόνῳ τῷ ἐθέλοντι ζητεῖν ἐκ τῶν ἀρχόντων ἀθήνησι· τῶν δὲ ῥωμαίων ὕστερον γέγονεν ὅμηρος ἔτεσιν ἑκατὸν ἑξηκοντακοτῷ·

ΠΛΟΥΤΑΡΧΟΥ ΕΙΣ ΤΟΝ ΒΙΟΝ ΤΟΥ ΟΜΗΡΟΥ.

Ἐριπόνῑσως δόξειε τισι πολυπραγμονεῖν περὶ ὁμήρου ποίων τε ἦν γονέων, καὶ πόθεν, ἐπεὶ μήπω αὐτὸς ἠξίωσεν ἑαυτοῦ τὰ περὶ αὐτοῦ· ἀνηγόρευσεν ἐγκρατῶς ἔχειν, ὡς μὴ ἡ τὴν ἀρχὴν τοῦ ὀνόματος ἐπιμνησθῆναι· ἐπεὶ δ' ὡς πρὸς ἀσαφῶς τῶν ἀρχομένων πάντα δύνεσθαι χρήσιμος ἡ πολυπραγμοσύνη, πειρασόμεθα εἰπεῖν ὅσα ἱστόρηται τοῖς πάλαι περὶ αὐτοῦ·

Ἔφορος μὲν οὖν ὁ κυμαῖος ἐν σωτάτῳ ματι τῷ ἐπιγραφομένῳ ἐπὶ χωρίῳ κυμαίων αὐτὸ ἀποδεικνύμενος πρώμνος φησὶν ὅτι ἀτελλῆς, καὶ μάων καὶ δῖος ἀδελφοὶ κυμαῖοι τὸ γένος· ὧν δῖος καὶ διὰ χρέα μετῴκησεν ἐς ἀσ

Homerus et Hesiodus
ex eadem familia

κρὴν κώμην τῆς Βοιωτίας, καὶ ἐκεῖ γήμας τὴν τυνιμήδην, ἐγέννησεν υἱὸν ὅσιον· ἀτελοῦς δὲ τελευτήσας ἐν τῇ παρίδι νύμῃ, καταλιπὼν θυγατέρα κρηθηΐδα τὸν ὄνομα, προσηκάμενος αὐτὴν τὸν ἀδελφὸν μαίονα· ὃς διαπορεύσας τὸν προφημένην, καὶ τὴν ἀπὸ τὸν πολιτῶν ἐπὶ τῷ γεγονότι δέησιν καταγνωσιν, ἐδωκεν αὐτὴν πρὸς γάμον φιλίῳ συμπαιδὶ διδασκάλῳ γραμμάτων· φοιτῶσα δὲ αὕτη ἐπὶ τὴν πλουσίου, οἳ ἦσαν παρὰ τῷ μέλητι, ἀπεκύησε τὸν ὅμηρον ἐπὶ τὸν ποταμὸν, καὶ διὰ τοῦτο μελησιγενὴς ἐκλήθη· μετωνομάσθη δὲ ὅμηρος, ἐπεὶ μὴ τὰς ὄψεις ἐπιρρώθη· ὕστερον δὲ ἐκάλουν οἱ τὴν μαῖον, καὶ οἱ Ἴωνες τὰς ὀφθαλμοὺς πεπηρωμένους, παρὰ τὸ δέεσθαι τὸν ὁμηρεύοντων, ὃ ἦν τὸν μένων· ταῦτα μὲν Ἔφορος.

Vnder dioly
Homerg.

Ἀριστοτέλης δὲ ἐν τῷ πρώτῳ περὶ ποιητικῆς, ἐν ᾧ φησὶ τὴν νῆσον, καθ' ὃν καιρὸν ναῦλον ὁ πόδοκος τὸν ἰωνικὴν ἀποικίας ἤγετο, πόρνην τινὰ τὸν ἐπιχωρίων γενομένην ὑπό τινος δαίμονος τὸν συνοργὸν μύσας ἐνύμονα, ἀφ' ὧν ἔσεσαν τὸ συμβὰν διὰ τὸν ὄγκον τὸν γαστρὸς, ἐλθεῖν εἴς τι χωρίον, τὸ καλούμενον Αἶγιναν· ἧς δὲ καταδραμόντας λῃστὰς ἀνδραποδίσασθαι τὸν προειρημένην, καὶ ἀγαγόντας εἰς σμύρναν ἔσαν ὑπὸ λυδοῖς τότε τῷ βασιλεῖ τὸν λυδῶν ὄντι φίλῳ τὸν ὄνομα μαίονι χαρίσασθαι, τὸν δὲ ἀναπήσαντα τὸν πόρνην διὰ τὸ κάλλος τὸν μαι, ἣν διατρέβουσαν παρὰ τῷ μέλητι, καὶ συνεγγένουσαν ὑπὸ τὸν ὠδῖνος, ἔτυχεν ἀποκυήσασα τὸν ὅμηρον ἐπὶ τῷ ποταμῷ· ὃν ἀναλαβὼν ὁ μαίων, ὡς ἴδιον ἔτρεφε, τὸν κρεθηΐδος μετὰ τὸν κύησιν οὐθὲν τελευτησάσης· χρόνῳ δὲ ὕστερον πολλοῦ διελθόντος, καὶ αὐτὸς ἐτελεύτησε· τὸν δὲ λυδῶν κατασπεύσαντας ὑπὸ τὸν ἀπολέμου, καὶ κρινάντων καταλιπεῖν τὴν σμύρναν, καὶ κηρυξάντων τὴν ἡμέραν τὸν βυλόμενον

νον ἀκολουθεῖν, ἐξιέναι τῆς πόλεως, ἔτι νήπιος ὢν ὅμη
ρος ἔφη καὶ αὐτὸς βούλεσθαι ὁ μηρεῖν· ὅθεν ἀντὶ μελη
σιγενοῦς, ὅ μηρος προσηγορεύθη·

Γενόμενος δὲ ἐν ἡλικίᾳ, καὶ δόξαν ἐπὶ ποιητικῇ κεκτη
μένος ἤδη ἐπηρώτα τὸν θεὸν τίνων τε εἴη γονέων, καὶ
πόθεν· ὁ δὲ, ἀνεῖλεν οὕτως·

Ἔστιν ἴος νῆσος μητρὸς πατρὶς, ἥσε θανόντα
δέξεται, ἀγὰ νέων ἀνδρῶν αἴνιγμα φύλαξαι·
φέρεται, καὶ ἕτερος χρησμὸς τοιοῦτος·

Ὄλβιε, καὶ δύσδαιμον (ἔφυς γὰρ ἐπ' ἀμφοτέροισι)·
πατρίδα δίζεαι, μητρὸς δὲ τοι, οὐ πατρός ἐστι
μητρόπολις ἐν νήσῳ ἀπὸ κρήτης εὐρείης·
μίνωος γαίης οὔτε σχεδὸν, οὔτ' ἀπὸ τηλοῦ·
ἐν τῇ, σὴ μοῖρά ἐστι τελευτῆσαι βοιότοιο·
εὖτ' ἂν ἀπὸ γλώττης παίδων μὴ γνῶς ἐπακούσας
δυσξυνέτων σκολιοῖσι λόγοις εἰρημένον ὕμνον·
δοιὰς γὰρ ζωῆς μοίρας λάχες, ἣν μὲν ἀμαυρὰν
ἠελίδων ὄσσων, ἣν δ' ἀθανάτοις ἰσόμοιρον
καὶ ζῶν, καὶ φθίμενος, φθίμενος δ' ἔτι πολλὸν ἀγήρως·

Μετ' οὐ πολὺν χρόνον πλέων ἐς ἰήτας ἐπὶ τὰ κρόνια, ἀγὼν
δὲ οὗτος ἄγεται παρ' αὐτοῖς μουσικὸς,) ἦλθεν ἐς ἴον· ἔν
θα ἐπὶ πέτρας καθεζόμενος, ἐθεάσατο ἁλιεῖς προσπλέ
οντας, ὧν ἐπυνθάνετο εἴ τι ἔχοιεν· οἱ δὲ, ἐπὶ τῷ θηρά
σαι μὲν μηδὲν, φθειρίζεσθαι δὲ διὰ τὴν ἀπορίαν τῆς θή
ρας, οὕτως ἀπεκρίναντο·

Ὅσ' εὑέλομεν, λιπόμεσθα, ὅσ' οὐκ ἕλομεν, φερόμεσθα· αἰ-
νισσόμενοι ὡς ἄρα οὓς μὲν ἔλαβον τῶν φθειρῶν, ἀποκτεί
ναντες, κατέλιπον· οὓς δ' οὐκ ἔλαβον, ἐν τῇ ἐσθῆτι φέ-
ροιεν· ὅπερ οὐ δυνηθεὶς συμβαλεῖν ὅμηρος διὰ τὴν ἀθυ
μίαν ἐτελεύτησε, θάψαντες δὲ αὐτὸν οἱ ἰῆται μεγαλο

πρεπῶς, τοιόνδε ἐπέγραψαν αὐτῷ τῷ τάφῳ,
Ἐνθάδε τὴν ἱερὰν κεφαλὴν κατὰ γαῖα καλύπτει,
ἀνδρῶν ἡρώων κοσμήτορα θεῖον ὅμηρον·
Εἰσὶ δὲ οἱ καὶ κολοφώνιον αὐτὴν ἀποδείκνυνται, μεγίστῳ
τεκμηρίῳ χρώμενοι, πρὸς ἀπόδειξιν τῷ ἐπὶ τοῦ ἀν=
δριάντος ἐπιγεγραμμένῳ ἐλεγείῳ, ἔχει δὲ οὕτως·
Υἱὲ μέλητος ὅμηρε· σὺ γὰρ κλέος ἑλλάδι πάσῃ,
καὶ κολοφῶνι πάτρῃ θῆκας ἐς ἀΐδιον
καὶ τάς δ' ἀντιθέῳ ψυχῇ γεννήσαο κούρας
δισσὰς ἡμιθέων γραψάμενος σελίδας·
ὑμνεῖ δ' ἡμὲν νόστον ὀδυσσῆος πολύπλαγκτον,
ἡδὲ τὸν ἰλιακὸν δαρδανιδῶν πόλεμον·
Ἄξιον δὲ μὴ δὲ τὸ ὑπὸ τοῦ ἀντιπάτρου γραφὲν, ἐπίγραμ
μα παραλιπεῖν, ἔχον οὐκ ἀσμένως· ἔχει δὲ οὕτως·
Οἱ μέν σου κολοφῶνα τιθηνήτειραν ὅμηρε·
οἱ δὲ, καλὰν σμύρναν, οἱ δ' ἐνέπουσι χίον·
οἱ δ' ἴον, οἱ δ' ἐβόασαν εὔκλαρον σαλαμῖνα·
οἱ δὲ νυτᾶν λαπιθᾶν ματέρα θεσσαλίαν·
ἄλλοι δ' ἄλλο μέλαθρον ἀνίαχον· εἰ δὲ με φοίβου
χρὴ λέξαι πινυτὰν ἀμφαδὰ μαντοσύνην,
πάτρη τοι τελέθει μέγας οὐρανὸς, ἐκ δὲ γυναικὸς
οὐθνατᾶς, μητρὸς δ' ἔπλεο καλλιόπας·
Γενέσθαι δὲ αὐτόν φασι τοῖς χρόνοις, οἱ μὲν κατὰ τὸν τρωϊκὸν
πόλεμον, οὗ καὶ αὐτόπτην γενέσθαι· οἱ δὲ μετὰ ἑκατὸν
ἔτη τοῦ πολέμου· ἄλλοι δὲ μετὰ πεντήκοντα, καὶ ἑκατὸν·
ἔγραψε δὲ ποιήματα δύο, ἰλιάδα, καὶ ὀδύσσειαν. ὡς δὲ
τινες οὐκ ἀληθῶς λέγοντες, γυμνασίας καὶ παιδιᾶς ἕνε
κα, καὶ βατραχομυομαχίαν προσθεὶς, καὶ μαργίτην· τοῦ
δὲ τρωϊκοῦ πολέμου καθ' ὅμηρόν τινές φασιν ἀρχὴν εἶναι
τὴν τῶν θεῶν κρίσιν, ἥρας, καὶ ἀθηνᾶς, καὶ ἀφροδίτης πε

Ætas homeri

ρὶ κβλλης ὑπ᾽ἀλεξάνδρου γενομένην, λέγειν δ᾽ αὐτὸν ὡς
ὃ σ νείπεατε θεὰς ὅτε δὶ μέαναιλον ἵικοντο.
πλὴν σ᾽ ἦνεα᾽ ἤ δὶ πόρε μαχλοσώνην ἀλεγεινὴν.
Ἀλλ᾽ ὡς ἢ πρέπον ὑπολαμβάνειν θεὸς ὑ᾽ὰν ἀνθρώπων κρί
νεσθαι, ὅτε ὑ᾽ὸ μήρυ δὶ᾽ ἄλλων παρίστατο τὸ. ὅθεν
αὐλόγως ἠθέτηται δὶ προπέμψοι σίχοι· ἄμεινον ἦν λέ
γειν ὅτι ἀλέξανδρος ὁ πριάμυ πᾶς ἐπιθυμήσας ἑλλη
νικῆ βίᾳ μαθεῖν ἀγωνὶν ἔπλευσεν εἰς σπάρτην· κὰὶ
ἐπιξενωθεὶς ἑλένῃ μενελάῳ κατὰ τ οἶκον ὢν τος,
ἀνέπεισεν αὐτὴν ἀπολιθεῖν· ἐλθὼν δὶ εἰς πλὴν κραναὴν
κβλουμένην νῆσον ἐ μίᾳ πρῶτον τῇ γυναικὶ· κὰὶ ἦθεν
πλεύσας διὰ σιδῶνος, κὰὶ φοινίκης, ἦλθε δ᾽ ἴλιον· ἐπι
γόντος δὶ δὶ πρὶ ἀχαμέμνονα, κὰὶ μενέλαον τὰ πε
πραγμένα, σρατιὰν ἠθροισαν ὐ αὐλίδι πόλ ᾳ τῆς βοι
ωτίας, ἔνθα κὰὶ θυόντων αὐτῶν, ὀφάνων ἐπὶ τὸ πλησί
ον ἀνελθὼν δένδρον, σρουθὸ νεοσσὺς ὀκτὼ διέφθαρεν·
ὅις ἡ μήτηρ ἐνάτη συγκατείλετο· ἐμήνυε δὶ τὸ σημεῖ
ον, ὅτι ἐνέα ἔτη πολεμήσαντες ἕλληνες, τῷ δεκά
τῳ ἀῤῥῶσι πλὴν ἴλιον.

Ordo narrationis Latinus Iliados

Ἡ νίκη ἢ πλεύσαντες, ἐπέβησαν τῆς γῆς, μετὰ πρώτην
συμβολὴν, κὰθ᾽ ἣν ἀνῃρέθη πρωτεσίλαος, μενέλαόν τε
κὰὶ ὀδυσέα πρέσβας ἀπέσειλαν τ ἑλένην ἀπαιτοῦντας.
τῶν δὶ τρώων ἀντιπόντων, πάλιν συμβολὴν ἐποιοῦντο
πολέμε· κὰὶ ἐπικρατήσαντες, τὰς μὲν, εἴασαν παρε
σρατόμην τῇ πόλει, οἱ δὶ σρατηγοῦντος ἀχιλλέως, τὰς πε
ρικειμένας πόλεις ἐπόρθουν· συμμαχίας ἀφαιρέμε
νοι τ τρῶας· ἐξ ὧν μίαν ἑλόντες χρύσαν, ἔρασ᾽ ἔδω
σαν ἀχαμέμνονι χρυσηίδα χρύσε ἱρέως ἀπόλλωνος
θυγατέρα· ὁ δ᾽ ἐλθὼν ἐπὶ τ ναύσταθμον, ἵνα λυτρώσηται
πλὴν παῖδα, κὰὶ ὑβριθεὶς ὑ᾽ὸ ἀχαμέμνονος, ἤνεγκε τῷ

ροις, χρησιμωτάτῳ προοιμίῳ μενος· σωσάμενος τὰς αὐτοῖς πρότερον κραταιὰς τῶν πολεμίων, καὶ οἰκεῖας ἀναστρέψας, ἵνα τὴν παρ' αὐτῶν εὔνοιαν ἐπιδείξωνται εἰς τὰ ὅπλα τὸν ὑπὲρ τῆς πατρίδος παρακελεῦ. ὃ γ' ἀχιλλεὺς ἐπὶ τῇ ἀπειλῇ τὸ ἀγαμέμνονος θυμούμενος, μηνύει τὸν ὑπὲρ αὐτοῦ, καὶ τῶν ἑλλήνων λόγον, ἵνα μὴ εἰς ἀνύσαν τας, συνυστέρους κατασήσῃ· πάντας δ' ἐπὶ νῆν πόλεμον ἐκάλεσα, δικαίαν τινὸς ἀπεχθείας ἕνεκα· ἀλλὰ ἧς χάριν αὐτοῦ τὸ ἀγαμέμνονος, καὶ τὸ ἀδελφοῦ αὐτοῦ· καὶ πολλὰ μὲν πεποιημένα ἐστὶν τὸ δὲ χέρας, ἢ παρὰ τῶν, ἀλλὰ παρὰ τὸ κοινὸν τῶν ἑλλήνων εἰληφέναι· οἷς ἀντιλέγων ὁ ἀγαμέμνων, μὴ ἀπορεῖ ὅπως καὶ αὐτὸς θαρραλέος ἢ τὸ πλῆθος· φήσαντος γὰρ τὸ ἀχιλλέως ἀπολύεσθαι ἧς τὴν παρίδα, δι' ἣν ἔπαθεν ὕβριν, μὴ εἶπεν ἁπλῶς· ἀλλὰ φεῦγε, τὸ ἁπλῶς ῥηθὲν, εἰς τὸ ἀδοξότερον μεταβαλών· καὶ ὅτι μὲν παρακελεύσεται μένειν· πάρεισι δὲ καὶ ἄλλοι, οἳ τιμῆς ἀξιώσουσί με· ἢν δὲ καὶ τοῦτο τοῖς ἀνδράσι πεχαρισμένον·

Κ αὶ ἐπὶ τούτοις εἰσάγεται ῥήτωρ ὀνέστωρ. οὗ ἡδυεπῆ, καὶ λιγυὰ γῆρυν προσῆπε. τὸν, καὶ ἀπὸ γλώσσης μέλιτος γλυκίων ῥέεν αὐδή· ὃ μεῖζον ἐνώμιον, ἢ ἂν γένητο ῥήτορος· τί γ' ὅτος διαπράσσεται τῷ λόγῳ· ἄρχεται ἀπὸ προοιμίου, δι' ὃ μετάνωσιν ἐποιεῖν πειρᾶται τοῖς ἀφροδ μένοις, ἀρισθένειν, ἐννοᾶν αὐτὸν παρασκευάζων, ὅτι μαχόμενοι παρέξουσιν ἀφορμὴν χαρᾶς τοῖς πολεμίοις· πρόεισι γὰρ ἐκ τρόπου, καὶ πείθεται ἑαυτῷ, ὡς πρεσβυτέρῳ παραινῶν· καὶ τῷ σωφρονίζειν τὸ ἕτερον, μεχαρισμένα τῷ ἑτέρῳ λέγει. τῷ μὲν ἀγαμέμνονι, παραινεῖ, μὴ ἀφαιρεῖσθαι τὸ δοθὲν τῷ πολλὰ μεμνημένῳ τὸ γέρας· τῷ γ' ἀχιλλεῖ, μὴ ἐρίζειν τῷ βασιλεύοντι πρε-

Rhetorica Nestoris

Nestor dulcis oratorum Homerus

αριστο μένω· καὶ πρέποντα ἑκατέρῳ ἐπαινον· τῷ μὲν ὡς πλεόνων βασιλεύοντι, τῷ δὲ, ὡς πλέον ἰσχύοντι· τὸν τρόπον πραΰνην αὐτὸς ἐπιχειρεῖ·

Τί δὲ, ἂν μὴ ἐν τοῖς ἑξῆς ὁπότε εἶδε τὸ ὄνειρον ὁ ἀγαμέμνων, ἐλπίσας ἀγαθὰς αὐτῷ φέροντα παρὰ τοῦ διὸς, καὶ ὁπλίζηται, ἢ ἕλληνας παρακελεύσηται, ῥηξηναι τὴν τάχιστα τὸν ἀντίον οἷς βούλεται πρὸς ἃ πολλὰ λέγων ἵνα πεῖραν τῆς ὁρμῆς αὐτοῦ λάβῃ, καὶ μὴ ἐπαχθὴς ᾖ, πολεμεῖν ἀναγκάζων ὑπὲρ ἑαυτοῦ· ἀλλ' αὐτὸς μὲν πρὸς χάριν λέγει· ἄλλος δέ τις τὰ πείθειν αὐτὸν δυναμένων, προτρέπει μένειν, ὡς τάχα τὴν ἀληθείαν τοῦ βασιλέως βέλοντος· καὶ γὰρ ἐν οἷς ἀπομηνύει, ἐμφαίνει ὅτι τὸ ναντίον βούλεται· ὁ δὲ ἀλγύνομενος τὸ λόγου τούτου, ἔτι ὀδυνᾶται, παῤῥησίᾳ τῇ πρεπούσῃ χρώμενος· καὶ τὸ μὲν ἀρέσαι λόγοις προσηνέσι πείθων, τὸ δὲ ὑποδυσερὲς, καταμηνυτικῶς ὑπαινίττεται τοῖς κρείττοσιν ἀναγκάζων· καὶ τὸ ἄπαυστον, καὶ θορυβῶδες τὸ πολλῶν καταπαύσας, ἅμα πάντας πρὸς λόγοις εἶχε μᾶλλον· μεῤῥίως δὲ ὀνειδίσας, διότι οὐκέτι τελοῦσιν ἃ ὑπέσχοντο, καὶ ἅμα συγνώμης ἀξιώσας, ὅτι πολὺν χρόνον ἄπρακτοι μένοντες, τῶν φιλτάτων ἐστέρηνται· παρακλήσει δὲ, καὶ ἐλπίδι τῇ ἐν τῶν μαντείων, συμπείθων μένειν·

Ὁμοίως δὲ καὶ ὀνείρου λόγους ἐξαλλαγμένους ὡς ταυτὸ δὲ τείνοντας ποιούμενος· καὶ πλείονι παῤῥησίᾳ πρὸς ἃ ἤδη μεμαλαγμένους χρώμενος, πείθει τὸ πλῆθος, καὶ τὴν αἰτίαν τοῦ ὀλιγωρίας· εἰς ὀλίγους τὸ μηδενὸς ἀξίους ἀναφέρων, ἃ πολλοὺς ἐνέχρεπε· προστίθησι δὲ καὶ ἀπαλλαγὴν τοῖς ἀπειθοῦσι, καὶ εὐθέως συμβουλεύει τῷ βασιλεῖ, ὅπως μὴ κατολέγειν τὰ στρατιωτικὰ τάγματα·

Ἄλλην δὲ ἐν ταῖς κατὰ τὸν πόλεμον πράξεσι τῶν ἑλλήνων,

Ulysses primo cupes hominem appellat Vulg. altercatur

B 1 head

τὰ μὲν, εὐτυχησάντων, τὰ δὲ, πταισάντων, καὶ ἐν φόβῳ καταστάντων, ὁ μὲν διομήδης ἅτε τὸ ἐκ τῆς νεότητος θράσος, καὶ τὴν ἐκ τῆς ἀριστείας παῤῥησίαν ἔχων, πρὸ τοῦ ἐπιδείξασθαι τὴν ἀνδραγαθίαν σιωπῆς ἀξιώσας τὸ παρὰ τοῦ βασιλέως ὄνειδος, τότε ἐπιπλήσει τῷ ἀγαμέμνονι, ὡς ὑπὸ ἀνανδρίας συμβουλεύοντι φεύγειν. φησὶ γὰρ ἀτρείδῃ, σοὶ πρῶτα μαχέσομαι ἀφραδέοντι· ἦ θέμις ἐστὶν ἄναξ ἀγορῇ, σὺ δὲ μή τι χολωθῇς· ἐν οἷς ἅμα μὲν νουθετεῖν αὐτὸν ἐπιχειρεῖ ἅμα δὲ τὴν παρ' αὐτοῦ ὀργὴν παραιτεῖται· καὶ τὰ μὲν φθάνοντα διαπεπρᾶχθαι ἑαυτῷ, ἀνεπαχθῶς ὑπομιμνήσκει λέγων· ταῦτα δὲ πάντα ἴσασ' ἀργείων, ἠ μὲν νέοι, ἠδὲ γέροντες·

Diomedes contio in 1ᵐ Iliad.

E ἰς δὲ τὰ ἐξῆς προτρέπει τοὺς ἕλληνας τεχνικῶς ἐγκωμιάζων αὐτοὺς· δαιμόνι· οὕτω που μάλα ἔλπεαι υἷας ἀχαιῶν, ἀπτολέμους τ' ἔμεναι, καὶ ἀνάλκιδας ὡς ἀγορεύεις· καὶ αὐτὸν τὸν ἀγαμέμνονα δυσωπεῖ, συγχωρῶν αὐτῷ εἰ βούλεται ἀπιέναι· τοὺς γὰρ ἄλλους ἐξαρκέσειν, ἢ κἀν πάντες φύγωσιν, αὐτόνγε σὺν τῷ ἑταίρῳ μένειν, καὶ μάχεσθαι. εἰπὼν νῶϊ δ' ἐγὼ σθένελός τε μαχησόμεθα· ὁ δὲ νέστωρ, τούτω μὲν γνώμης τε, καὶ πράξεως ἀρετὴν μαρτυρεῖ· ὅσα δὲ εἰς τέλος τῆς συμβουλῆς διαφέρει, ἑαυτὸν ὡς πρεσβύτερον δεῖν παραινεῖν ἀξιοῖ· καὶ ἐπέξεισι τῷ λόγῳ, τὴν πρὸς ἀχιλλέα πρεσβείαν παρασκευάζειν ἐπιχειρῶν·

Καὶ ἐν αὐτῇ δὲ τῇ πρεσβείᾳ, ποικίλαις τέχναις ποιεῖ χρωμένους τοὺς ῥήτορας· ὁ μὲν γὰρ ὀδυσσεὺς ἀρχόμενος τοῦ λόγου οὐκ εὐθέως ἔφη, ὅτι ἀγαμέμνων μετεγνωκὼς ἐπὶ τῇ τῆς βρισηΐδος ἀφαιρέσει, τήν τε κόρην ἀποδίδωσι, καὶ δῶρα τὰ μὲν, παραυτίκα πέμπει, τὰ δ' ὕστερον ἐπαγγέλλεται· οὐ δὲ ἦν χρήσιμον, οἰδοῦντος ἔτι τοῦ θυμοῦ,

Oratio Ulyssis in 9 Iliad

παῦται ὑπὸ μισθοῦ, ἀλλὰ πρῶτον μὲν ἠθέλησεν ἐμβαλεῖν
τὸν ἀχιλλέα εἰς δίκην τῶν ἑλληνικῶν ἀτυχημάτων.
εἶτα εἰπὼν ὕστερον βουληθεὶς ἐπανορθώσασθαι τὰς συμ-
φορὰς, αὖθις ἔτι διώκεται, μετὰ ταῦτα τῶν πηλέως πα-
ραινέσεων ἀνέμνησεν ἑαυτὸν ἀφαιρῶν τὸ ἐπαχθὲς,
τῷ δὲ μᾶλλον δίκαιον ῥέπειν διωκόμενος προσώπῳ τῷ
τοῦ πατρὸς πρόθεσιν τὸν λόγον καὶ ὅτε ἐδόκει πρότε-
ρον αὐτὸν εἶναι, τότε καὶ τὴν ἀναμένουσαν δώρων ἐμνη-
μόνευσε· καὶ πάλιν εἰς τὰς ὑπὲρ τῶν ἑλλήνων δεήσεις
μετέβαλε τὸν λόγον· ὅτι εἰ καὶ δικαίως ἀναμένων
μέμφεται, καλὸν γὴν σῶσαι τοὺς μηδὲν εἰς αὐτὸν ἐξη-
μαρτηκότας.

Ἐμοὶ δὲ καὶ τὸν ἐπίλογον, μηδὲν τῶν λυπούντων ἔχειν τὴν
ἀκρόασιν ἐπεὶ καὶ μάλιστα μνημονεύεται τὰ τέλη τῶν
λόγων ἡδέα τελευταία παράκλησις ἔχει τι καὶ διεγεῖ-
σον ἐπὶ τὸ πολεμίους ὡς καὶ αὐτὸς καταφρονῶντας. ὧν
δὲ ἀνῄρηται ἕλοις τὴν ἔκθεσιν, ἅσα χρὴ ἐναντίον ποιεῖν· ἐπεὶ
ἕδεται τῶν ἑλλήνων ἑαυτῷ φησὶν εἶναι ὅμοιον· ὃ δὴ φοί-
νικι δοκοῦσι μὴ ὁμοίως ἕτερον, ἢ προσῆκε, χρῆται τῇ δια-
θέσει, θάλαμον προεῖται καὶ πρῶτον μὲν τῇ ὁρμῇ αὐτὸς συ-
πίπτεται φήσας μὴ ἀπολεῖσθαι αὐτὸς, εἰ ἀποπέσοι-
τὸ δὲ ἦν αὐτῷ πεχαρισμένον καὶ τὰ αἰτίαν λέγει, ὅπως
πρόφευε αὐτὸς ἐπισάθη παρὰ τὴν πηλέως, νήπιον παρα-
λαβὼν, καὶ διδάσκαλος ἔργων, καὶ λόγων ἔναι ἠξιώθη·
παραδίδωται δὲ καὶ τὰς ἐπὶ τῇ νεότητος ἁμαρτίας αὐ-
τῷ, ἐμφανέων ὡς καὶ ἄβουλον ἡ τοιαύτη ἡλικία, καὶ προϊόν-
τὸν τῶν εἰς προσοχὴν παραλείπει πᾶσι τοῖς ἡμαρ-
ταλέοις ῥητορικῶς χρώμενος, ὅτι διαλλάχθαι καλὸν τῷ
μετανοοῦντι, καὶ ὥρα πέπαυται, καὶ πρέσβεις τὴν ἀρέ-
σεως, καὶ δώρων τιμιωτάτους ἀπεστελμένη· καὶ ὅτι καὶ αὐτὸς

phoenix oratio in Iliad.

δίκαιός ἐστιν ἀκουσθῆναι φοβούς τε ὢν, καὶ διδάσκαλος· καὶ ὅτι μεταγνώσεται προέμενος τὸ παρόντα καιρόν. καὶ παραδείγματι χρῆται τῷ κατὰ μελέαγρον διηγήματι ὅτι καὶ ἐκεῖνος παρακαλούμενος ὑπὸ τῶν οἰκείων βοηθεῖν τῇ πατρίδι, ὑπὸ συγκατέβη ἕως ὑπὸ τῆς ἀνάγκης τὸ κατὰλαβεῖν τὴν πόλιν συμφορῶν, ἐπὶ τὸ ἀμυνεῖν ἐπράξεν· ἄλλα δὲ οἵ τε μὲν, καὶ ἐπεσίασε, καὶ δὲ ἐδίκαιον· παρρησίᾳ δὲ χρησάμενος, καὶ βελτίων ὁ φρόνημα τὸ ἀχιλλέως διέγνω. τὰ μὲν οὖν καίρως ἐπιπλήττων, τὰ δὲ, αὐγενῶς παρακαλῶν, ἵνα μὴ τελέως προέξωνται· ὅτω τὸ ἥρμοζε τῷ τὸ ὀρεπτὸς μετειληφότι· πρὸς δὲ τούτων ἔκτασιν ὁ ἀχιλλεὺς ἀποκρινάμενος, ἦθος γενναῖον ἅμα, καὶ ἀπλοῦν ἐμφαίνει· τοῖς μὲν γὰρ ἄλλοις ἐλευτικῶς ἅμα, καὶ μεγαλοφρόνως ἀντιλέγει, αὐτίκα δὲ λόγως τὸ ὀργῆς παρίστησι· πάντα δὲ ἀπολογεῖται, καὶ ὀδυνᾶται μὲν ἔφη ἀποπλούσειν τὴν ὑστεραίαν· καὶ μπόμενος δὲ πως τοῖς φοίνικος δηήσεσι, βυλεύεσθαι φησι περὶ τὸ ἀπόπλου· ἐνιπηθεὶς δὲ ὑπὸ τῆς αἴαντος παρρησίας, ἐξομολογεῖται πᾶν, ὃ μέλλει ποιήσειν, ὅτι ὁ πρότερον ἔχει σιν ἐπὶ τὸν πόλεμον, πρὶν ἂν ὁ ἕκτωρ ἐπὶ τὰς σκηνὰς αὖτὸς, καὶ τὰς νῆας ἀρίκηται, τὰς πολλὰς τῶν ἑλλήνων ἀπεκρινως. ἔνθα φησὶν, ὅτι καίπερ ἐνθύμως μαχόμενον τὸν ἕκτορα παύσεσθαι νομίζω. καὶ γὰρ τοῦτο προειρημένον πρόσθεν ὑπὸ τὸ ὀδυσσέως, περὶ τὸ ὑπὸ σπονδὰς τὴν ὁρμὴν τὸ ἕκτορος ἀντέβην.

Ἐν δὲ τοῖς τὸ φοίνικος λόγοις καὶ πάνυ παρίστησιν, ὅτι τὸ χρῆν ὄντων ἡ ῥητορικὴ φησὶ τὸ τῷ ἀχιλλεῖ· δ. ὅτι παρέλαβόν σε νήπιον, ὅπως ἐκ θεῶν ὁμοίως πολέμοιο, καὶ ἀγορέων, ἵνα τ' ἄνδρες ἀριπρεπέες τελέσσι, τοὔνεκα με πρόεικε διδασκέμεναι τάδε πάντα· μύθων τε ῥητῆρ

Hebraeorum exemplum

Responsio Achillis ad orationem legatorum

Rhetorica in oratione Phoenicis

ἔμθυμα, πρὶν πηράτε ἔργων· ἐν οἷς καὶ τοῦτο δείκνυσιν,
ὅτι ἡ τῶν λόγων δεινότης μάλιστα τὴν ἄνδρα διακλέψ
ἀπολάξεται.

Ἔστι δὲ καὶ ἐν ἄλλοις πολλοῖς τῆς ποιήσεως τόποις ἀνρεῖν
λόγους τῆς ῥητορικῆς τέχνης ἐχομένους· καὶ καταμορί=
σας, καὶ ἀπολογίσας ὑποδείκνυσι τρόπον, ἔνθ' ἄλλοις, καὶ
ἐν οἷς ὁ ἔκτωρ καθάπτεται τοῦ ἀδελφοῦ, ὀνειδίζων αὐτῷ
δειλίαν, καὶ ἀπολαχείαν· καὶ ὅτι τοιοῦτος ὢν, ἡδίκη πόρρω
ἀπωκισμένους· ὅθεν αἴτιος κακῶν τοῖς οἰκείοις ἐγένετο·
καὶ ὁ ἀλέξανδρος ἐκλύει τὸ θυμοῦ τοῦ ἀδελφοῦ δικαί
ως ἐπιπλήσεσθαι συγκατατιθέμενος· καὶ τῷ ὑποχέσθαι
πάλιν πρὸς τὸν ἀχιλλέα μάχην, ἀπολυόμενος τὸ ἔγκλη
μα τῆς δειλίας.

Καὶ ὅτι μὲν τεχνίτης λόγων ὁ μηρος, πᾶς τις ἂν εἴποι
εὖ φρονῶν· δῆλα δὲ καὶ τὰ ἄλλα ἐξ ὧν τῆς τῆς ἀναγνώσε
ως· ἓν ἢ μέλησε δὲ ἁδὶ χαρακτηρίσαι ἢ ῥήτορας· τὸν
μὲν γὰρ νέστορα ἡδεῖν, καὶ προσηνῆ τοῖς ἀκούουσιν εἰσά
γει· τὸν δὲ ἀχιλλέα, βραχυλόγον, καὶ εὐχάριν, καὶ τὸ πρὸ
κειμένου τυγχάνοντα· τὸν δὲ ὀδυσέα, πολλῆ, καὶ πυκνῆ
τῇ δεινότητι τῶν λόγων κεχρημένον· ταῦτα γὰρ τοῖς δυ
σὶ τούτοις ῆρωσιν, ὁ ἀνὴρ μαρτυρεῖ ἀκούσας αὐτῶν,
ὁπότε πρεσβεύοντες ἀφίκοντο εἰς τὸν ἴλιον.

Καὶ ταύτας τὰς διαφορὰς τῶν λόγων ὅμηρος παρίστησιν, αὖ
τὸς ἐν τῇ ποιήσει δείξας ἀπόδειξιν· οἷδε δὲ καὶ τὸν ἀντί
θεσιν τῶν λόγων ἀφ' ὧν τὰ ἐναντίων ἐπὶ παντὸς πράγμα
τος τιθεμένων, καὶ τὸ αὐτὸ κατασκευαζόντων, καὶ
ἀναιρούντων διὰ τὴν ἀπορίαν τῆς λογικῆς ἕξεως φη
σὶ γὰρ τροφὴν δὲ γλῶσσαν βροτῶν, πολέσθαι δ' ἐν μῦ
θοι· παντοίων δὲ πολὺς νόμος ἔνθα, καὶ ἔνθα· ὁποῖόν
κε εἴπῃσθα ἔπος, τοῖον κε ἐπακούσῃς.

Hector objurgans Paridem

Dionysius orator apud Homerum

Ε πίσταται δὲ ταῦτα καὶ διὰ πολλῶν λέγειν, καὶ διὰ ὀλίγων ἐπαναλαμβάνειν, ὅπερ καλεῖται ἀνακεφαλαίωσις, καὶ ἔστιν ἐν χρήσῃ παρὰ τοῖς ῥήτορσιν. ὁπόταν δέῃ πολλὰ πράγματα εἰρημένα ἀναμνῆσαι σαφῶς ὁμοῦ, ἃ τὸν διηγήσατο ὁ ᾠδὸς δὲ παρὰ τοῖς φάσκειν ἐν τέτταρσι ῥαψῳδίαις, ταῦτα πάλιν διὰ βραχέων διέξεισιν ἐν τούτοις ἤρξατο δ' ὡς πρῶτον νίκησε Δάμασ', αὖτὰρ ἔπειτα, καὶ τὰ ἑξῆς.

Politia Ingalis

Γ ᾗ δὲ πολιτικῶς λόγ' ἔχεται καὶ ἡ τῶ νόμων ἐπισήμη, καὶ διὰ ταύτης ἐντὸς τὸ ὅμηρον εὑρεῖν ἔσται. ᾗ ὧν δεῖ καὶ τὸ ὄνομα τοῦ νόμου ἦν καθ' αὑτὸ ἐν χρήσῃ, ἐπεὶ ἐστὶ σαφῶς διορίσασθαι· οἱ μὲν γὰρ φασὶ θεῖον αὐτὸν εἶναι, ἐπειδὴ τὸ νόμος τὸ νόμισθεν τῷ ἐπεῖν ἀνθρώπων ὕβριν, καὶ ὄνομίμην, ἐφορῶντες· ὡρίσαρχος δὲ ὠήθη τὸ ὄνομα ἐπὶ ἀνομίαν ἐρῆσθαι, παρὰ τὸ οὐ νέμεσθαι· καίτοι καὶ ὁ νόμος λέγεσθαι ἔοικεν, ἀπὸ τοῦ νέμειν τὰ σα πᾶσιν· ἢ τὸ κατ' ἀξίαν ἔκαστον· ὅτι ἡ δύναμιν τοῦ νόμου δίδυν, ἐμὴ καὶ ἐν ψυχαῖς, ἀλλ' ἐν ταῖς γνώμαις τοῦ ἀνθρώπων φυλάσσουσιν, ἐν πολλοῖς παρίστησι· τὸ γὰρ ἀγαθὸν ποιεῖ ὑπὲρ τὸ σκήπτρα λέγοντα, νῶϊ οὖ τέ μιν ἴδμεν ἀριστῆας ἐν παλάμαις φορέουσι δικασπόλοι, οἵτε θέμιστας πρὸς Διὸς εἰρύαται. θέμιστες δὲ, ἢ θεσμοὶ, οἱ νόμοι, ὧν τὸ δίκαιον σημαίνει παραδίδωσιν. ὧ καὶ τὸ μίνυθα τοῦ τοῦ κριτοῦ βασιλέα φησὶν ὁ Μιλήσιον. ἡδὺ δ' ὁμιλία νόμων μάθησις ἦν. ὡς καὶ πλάτων μαρτυρῶ σαφῶς· ἢ καὶ ἐν ἐπέεσιν ἦλθε, ὅτι χρὴ νόμοις ἕπεσθαι, καὶ μὴ ἀδικεῖν. τῷ μή τίς ποτε πάμπαν ἀνὴρ ἀθέμιστος εἴη, ὧν ὄχεσφιν ἅ ῥαθειῶν ἔχῃ ὄφι δίδιεν.

Clypeus Achillis

Γ ῥωτος τοίνυν ὅμηρος τὰ τῆς πολιτάδος διέλεγεν· ἐν τῇ ἀσπίδι, ἣν τοῦ κόσμου παντὸς μίμημα κατεσκάσατο Ἥφαιστος· τοῦτ' ἔστιν ἡ πανδαμάτειρα δύναμις ἐμβριθὲς

Aristides μένος, ἐποίησε δύο πόλεις· τὴν μὲν, ἐν εἰρήνῃ, καὶ εὐφρο-
σύνῃ διάγουσαν· πλὴν δ' ἐν πολέμῳ σχολάζουσαν· καὶ παρα-
Aristides bailly θὲς τὰ ἑκατέρας πρόσφορα παρίστησιν· ὅτι ὁ μὲν, πο-
λιτικὸς ἦν βίος, ὁ δὲ, στρατιωτικός.

Οὐ παρῆλθε δ' ἡ τῆς πίστεως τὴν θεωρίαν· ἅμα καὶ τὸν ἔθε-
ξεν ἀνάργυρον ἅμα, καὶ κόλλυβα πρίνεις τοῖς λόγοις· ὃ δὴ, ἐν
πάσῃ πόλει νενομοθέτηται τὸ εἶναι σωτήριον βουλῆς·
καὶ τὸν προβουλεύεσθαι πρὸ τοῦ δήμου σωτήριον, πρόδη-
λον ὅτι ἔστιν ἐκ τῶν μυρικῶν τούτων βουλὴν ἢ πρῶτον με-
μαθύμων ἴζειν ὀφόντων· σωφρόνως δ' ἀναμένων τὸ χρέω-
στας, καὶ σπεύδεται περὶ αὐτῶν, ὅπως ὁ πλοῦτος πρὸς
τὴν μάχην· καὶ ὅτι δεῖ τὸν ἄρχοντα πρὸ τῶν ἄλλων φροντί-
ζειν τῶν πάντων σωτηρίαν· ἐν τῷ αὐτῷ προσώπῳ διδά-
σκων, ὧν καὶ παραινεῖ· ὁ μὴ πανύχιον εὕδειν βουλὴφόρον
ἄνδρα· καὶ ὅτι δεῖ τῷ ἡγεμένῳ, πάθεσθαι τὰ ὑποτεταγ-
μένους· καὶ ὅπως ἐκάστῳ προσφέρεσθαι τὸν προτεταγ-
μένον ὁ δυνάμενος ὑπολήμνυσι· τὰ μὲν ἐντίμως, λόγοις
προσηνέσι πείθων τοῖς ἑκατὸν ὅλοις, πικρότερον ἐπι-
πλήττων· ἅμα καὶ τὸ πανίσταθαι τοῖς μένοσι, παρὰ
πᾶσι νενόμισται· ὃ καὶ αὐτοὶ οἱ θεοὶ ποιοῦσιν ἐπὶ τῶν διός· ὃ δὲ
τις ἔτλη μῆναι ἐρχόμενον, ἀμὴ ἀντίοι ἔσταν ἅπαντες·
νόμος παρὰ τοῖς πλείοσι τὸ πρεσβύτατον λέγειν· ὃ γὰρ
διομήδης ὑπὸ ἀνάγκης τὸ πολεμᾶν πρῶτος θαρσήσας
λέγειν, συνήνεσε ἕναι ἀξιῶν· καὶ μὴ πάτῳ ἀγάσασθε·
ἄνεκα δὴ γενεῇφι νεώτατός εἰμι μεθ' ὑμῶν.

Κ ἀκεῖνο δὲ παρὰ πᾶσι νενόμισται, τὸ κολάζεσθαι τὰ ἐκ μέ-
σια ἁμαρτήματα, τὰ δὲ ἀκούσια, συγγνώμης τυγχά-
νειν· τοῦτο πάλιν διδάσκουσιν ὁ πλάτων, ἐν οἷς φησιν ὁ ἀθε-
νὸς, παροινῶν· καίκεν τλέμαχος τάδε γ' εἴποι σὸς φί-
λος υἱὸς, ὡς ἐγὼ ὄτι ἐκὼν γε σὸν δόμον, ἠδὲ κατὰ

ζων πωλούμην μνησῆρσιν ἀφσόμβος μετὰ δαῖτας·
ἁμᾳ πολὺ πλέον δ᾽ ἡ κρέατον δ᾽ ἦσον ἐνάσιμη·

Τ ριῶν ἢ ἀσῶν πολιτῶν πρὸς δικαιοσώνην, καὶ δυνομί- Triplex
αν βασιλείασ τε καὶ ἀριστοκρατίασ· καὶ δημοκρατίασ· forma
καὶ ταύτασ πάλιν αὐτικειμένων βίων πρὸς ἀδικίαν καὶ politiæ.
παρονομίαν, τυραννίδος, ὀλιγαρχίασ ἀλλοκρατίασ·
ἃ δὲ ταύτασ ὅ μιρος ἀρνοῦν ἔσμεν πλὴν τῆ βασιλίαν δὲ
ὅλης τὴ ποιήσεως ὀνομάζων καὶ ἐγκωμιάζων· ὡς ἐν
τούτοις· θυμὸς δὲ μέγας ἐστὶ διοτρεφέων βασιλήων· τι-
μήεν δέ μιν ὅιος ἔδωκε φιλεῖ δὲ ἑ μητίεταζεύς· καὶ ὁ πόιον δε
μεῖ εἶναι τὴ βασιλέα σαφῶς δηλοῖ· λαῶν δ᾽ ὅισιν ἄνασσε, Condeſcri
πατρὶ δ᾽ ὡς ἤπιος ἦεν· καὶ ἅτε τινα ῥέξασ ἐξαίσιον ἀ- nens bom
τέ τι εἰπὼν ἐν δήμω ἤτ᾽ ἔδωκε δίκη θείων βασιλήων· τὴ Regis
ἀριστοκρατίαν, ἐν οἷς βοιῶτ βασιλέασ πέντε καταριθ=
μεῖ· καὶ παρὰ τοῖς φαίαξι· δώδεκα δὲ κατὰ δῆμον ἀρι-
πρεπέες βασιλῆες, ἀρχοὶ μὲν ἄνασσι, ἕκαστος δ᾽ ἐὼν
αὐτὸς· δημοκρατίας ἢ εἰκόνα ἐναργῶς ἐν τῆ καταστά-
σι ἀασίδος δημιύργ· ἐν ᾗ δύο ποιήσασ πόλεις, τὴ ἑτέραν,
δημοκρατεῖσθαι φησὶ, μηδενὸς ἡγεμένε, πάντων ἢ
πρὸς πλὴ ἑαυτῶν βάλησιν καταναύμαχος βιόντων, ἔνθα
καὶ δικαστήριον ᾠδάγε, καὶ ἐνεκένη γε πλὴ δημοκρατί
αν παρίστησιν, ἐν οἷς φησι· δῆμον ὑποδρήσασ· δὴ γὰρ
με χολώσαο λαὸν ἄνεκα λιτσῆρσιν ἐπιστάμενος ταφή
οισιν, ἧκά τε θεσπεσίης· οἵδε μὲν ἀρθμοὶ ἦσαν· ἐν δὲ
βιαίῳ, καὶ παρανόμως ἄρχοντα, τύραννον τὴ ὀνομά-
νεώτερον γὰρ τὸ ὄνομα, οἷος δὲ τοῖς ἕρχοις γίνεται δήμου Deſcriptio
σιν ἐν τούτοις· ἐς ἓ λεγον βασιλῆα βροτὸν δηλήμονα πάν tyranny
των, ὅς κ᾽ ἀνὰ ῥῖνα τάμησι, καὶ ἀστυνηλέι χαλκῷ· καὶ
ὃν αἰνότατον δὲ τυραννικὸν ἀποφαίνῃ· ὃς ἀποκτήνας τε
ἄγαμέμνονα, ἐπράτη τε μυκηναίων, καὶ ὁ πότε ἀνηρέθη

τρεις formæ rectæ et legitimæ politiæ
βασιλεια
ἀριστοκρατία
δημοκρατία
vel monarchia.
ὀλιγαρχία
ὀχλοκρατία

φησὶν, ὅτι θνητὸν ἐτύγχανε φῦσα μενέλαος παρὼν. ἔστι γὰρ ἐπὶ τῶν τυράννων νενόμισται· τῷ δὲ θανόντι χιτὼν ἐπιῤῥάπη ἔλαθεν· ἀπῆρα τόν γε καὶ ὦμοι τε, καὶ οἰωνοὶ κατέδαπτον πέλωρον ἐν πεδίῳ· μάλα γὰρ μέγα μήσατο ἔργον.

Ὁ λιγαρχίαν δὲ δηλῶν δοκῶ διὰ τὸ μνησίρων πλεονεξίας περὶ ὧν φησιν· ἡδὲ ὅσοι παραναν ἐβάκχευσαν κατοιρανέουσι· τὴν δὲ ὀλιγοκρατίαν ἐν τῇ τῶν βίων πολιτείᾳ παραδίδωσιν, ἐν ᾗ, καὶ σωφρονίζουσι πάντες ἀλεξάνδρῳ καὶ οἱ περὶ πρίαμος λοιδορεῖται τοῖς παισὶν, ὡς τούτων αἰτίοις ἀσυσατέ μοι κακὰ τέκνα κατῤῥόνες· καὶ ἄλλος δέ τις τῶν τρώων ὁ ἀντίμαχος χρυσὸν ἀλεξάνδροιο δολόεντος ἀγλαὰ δῶρα, ὄφρα ἑλένην δόμεναι ξανθῷ μενελάῳ.

Ἐπεὶ δὲ τὸ παρὰ ἀνθρώποις δίκαιον τοῦτο νομίζεται, τὸ ἀποτρεπτικὸν ἐκφεύγειν τὴν κατάξιαν· ἐν ᾧ μάλιστ' ἔστι τὸ θεὸς σέβειν, γονέας καὶ οἰκείας τιμᾶν, πολὺ εἰς θεὸς ἀσέβημα ἐν πολλοῖς διδάσκει εἰσάγων τὰς ἥρωας θεόντας, καὶ ἁρπαζομένας, καὶ δῶρα ἀνατιθέντας τοῖς θεοῖς, καὶ ὕβρεις βραίροντας αὐτὰς. καὶ τῆς ἀσεβείας ἀμοιβὴν ἀπολαμβάνοντας τὰ παρὰ θεῶν. ἐπιπλήττων δὲ πρὸς τὴν γενομένης τιμὴν, ἐν τῷ πολεμάχῳ προσώπῳ μάλιστα δήλωσι, καὶ ἐν οἷς ἐπαινεῖ τὴν ὀρέστην, ἣν ἀϊέις οἷον κλέος ἔλλαβε δῖος ὀρέστης· πάντας ἐπ' ἀνθρώπους ἐπὶ ἔπτανε παγοφορνῆα;

Καὶ ὅτι τὸ γηροτροφεῖσθαι τὰς γονέας ὑπὸ τῶν παίδων φύσει δίκαιον, καὶ ἐξ ἀμοιβῆς ὀφειλόμενον, διὰ μιᾶς λέξεως ἐδήλωσεν εἰπών, ἃ δὲ κακῶσι βρέφη τροφίλοις ἀτέσωνεν· ἀδελφῶν ἡ ἀνοσία, καὶ πίστις πρὸς ἀμήλας, ἐν τῷ ἀγαμέμνονι, καὶ μενελάῳ· φίλων δὲ ἐν ἀχιλλεῖ, καὶ πα

Impietatis offerypho apud Homerum

Pietas erga parentes

βρόκλῳ βεβιηνύσι γυναικὸς δὲ σωφροσύνην, καὶ φιλανδρίαν ἐν τῇ πηνελόπῃ· ἀνδρὸς ἡ πόθον τῆς αὐτὸς γυναικὸς, ἐν τῷ ὀδυσσεῖ παρίστησιν.

Ὅπως ἡ καὶ ὑπὲρ πατρίδος χρὴ πράσσειν· ἐν τούτῳ μάλιστα ἐπήλωσεν· ἐς οἰωνὸς ἄριστος ἀμύνεσθαι περὶ πάτρης· καὶ πάλιν ὅπως χρὴ τὸ πολίτας κοινοῦντας φιλίας ἔχειν πρὸς ἀλλήλους· ἀρρήτωρ ἀλλὰ μιστὸς, ἀνέστιός ἐστιν ἐκεῖνος, ὃς πολέμου ἔρατος ἐπίδημός ἐστιν· πῶς ἡ ἀληθοῦς τιμίου, τοῦ ἐναντίου φαυλοτέρου· ἐχθρὸς γάρ μοι κεῖνος ὁμῶς αἴδαο πύλῃσιν· ὃς χ' ἕτερον μὲν κεύθῃ ἐνὶ φρεσὶν, ἄλλο δὲ εἴπῃ· καὶ εἴτ' ἂν μὴν βάξῃσι, κατὼς ἂν ὑπέρτερον φρονέῃσι· τῶν ἡ οἴκων μάλιστα σωζομένων, ὁ πόταν γυνὴ μήτε τὰς ἀπορρήτους διανοίας τοῦ ἀνδρὸς πολυπραγμονῇ, μήτε ἄνευ τῆς γνώμης αὐτὸς πράσσῃ τι ἐπιχειρῇ, ἐκφέρουσα ἐκ τοῦ ἥρωος ὑπερβήξεσθαι τὸν πρότερον τῷ δὴ λέγοντι πιθομένῃ, μὴ δὴ πάντας ἐμὲ ἐπέλπεσθαι μήθως ἐκδήσῃ· ἡ ἕτερον τῇ ἥρᾳ, μήπως μοι μετέπηται χολώσεται, ἄλκιμος ἰωπῇ· οἷ χόλος πρὸς δῶμα βαθυῤῥόου ὠκεανοῖο· ἡ δὲ καὶ τὰς ἐξιόντας ἐπὶ πόλεμον, ἢ ἐν κινδύνῳ καθεζομένας ἐν τέλεσθαί τι τοῖς οἰκοῖς εἰθισμένον παρὰ πᾶσιν ἐν ἠνόησεν ὁ ποιητής· ἡ δὲ τὸν ἄνδρα μάχῃ σένοσα τοῦ ἔμπορά φησιν, ἐ χάρ μοι θυμήσιον λεχέων ἐν καλῇ ἀρέξασ' ὀρέξας· ἐδὲ τιμοεῖπας πυκινὸν ἔπος ἔτ' ἔτέκεν ἀεὶ μεμνημένη νύκτας τε, καὶ ἤματα δάκρυα χέουσα· ἡ δὲ πηνελόπη, τὰ ὀδυσσέως ἐκόλων μνήμονεύει, φήσαντος ὁπότε ἐξέρχεται τῷ ἐκ οἴκου ἔσεσθαι μὲν ἀνέσθαι θεὸς ἔσεσθαι ἀλλὰ. αὖτ' ἐνὶ φρεσὶ σοῖσιν ἐκάστοτε πάντα μεμόλοντων· μεμνῆσθαι πατρὸς, καὶ μητέρος ἐν μεγάροισιν, ὡς νῦν ἢ ἔτι μᾶλλον, ἐμοῦ ἀπόντος φίλου ἑοῦ· αὐτὰρ ἐπεὶ δὴ παῖδα γενείσαντα ἴδηαι, γήμασθαι ᾧ κε θέλῃσθα

Pugnas erga patriam.

τεὸν καὶ σῶμα λιτᾶσα· ὅσοι δὲ καὶ ἐπιβόητος καὶ ὀλίγων
ἐνυπνίων, ἐπέπαυτο ὄψιον ἅπαντα. πρόθυμα τε γέρον-
τι, καὶ ἑμπεδα πάντα φυλάττειν.

Τὰ δὲ ἐπὶ τοῖς θαλάττοις τῶν οἰκείων πένθη· ὅτε μὲν γὰρ
ἦναι ἄξιοι (ἀγεννὲς γὰρ τοῦτο· ὅτε παντελῶς ἀνήκεστο-
φθαι ἐᾷ· ἀδυνάτον δὲ τὸ ἀπαθὲς ἐπὶ ἀνθρώποις) ὅθεν λέ-
γεται τοιαῦτα· ἀλλ' ἤτοι κλαύσας, καὶ ὀδυρόμενος μενέ-
μεν τλητὸν γὰρ μοῖραι θυμὸν θέσαν ἀνθρώποισιν· ἐν δὲ
ἄλλοις δὲ φησιν· ἀλλὰ χρὴ τὸν μὲν καταθάπτειν ὅσιε θάπ-
σι νηλέα θυμὸν ἔχοντας ἐπ' ἤματι δακρύσαντας· ἔστ'
γὰρ ἀκήδεια ἅπασι καὶ νῦν ἐν τοῖς ταφαῖς νομίζεται ἔν
τε ἄλλοις, καὶ ἐν τούτοις ἔνθα δὲ ταρχύσωσι, καὶ σίγ' ἀνίστοιτε
ἔτι τε τύμβῳ τε, σήλῃ τε, ὁ δὲ γέρας ἔσθ' θανόντων· καὶ
ὅσα ἡ ἀνδρομάχη φησὶν εἰς τὸν ἕκτορος νέκυν γυμνὸν
κεῖσθαι ἀδόλως ἀλλαὶ ἔδονται, ἐπεὶ κε μὲν πόρεσιν-
ται γυμνὸν, ἀτὰρ μοι εἵματ' ἔσται μεγάροισι κέονται λε
πτά τε, καὶ καλὰ ἐνταῦθα, τετυγμένα χερσὶ γυναικῶν· ἀλλ'
ἤτοι τὰ δὲ πάντα κατάπλεξω πυρὶ κηλέῳ· οὐδὲν σοί γ'
ὄφελος ἔσται ἐνθάδε, μὴ ἐνεῖσαι αὐτοῖς· ἀλλὰ πρὸς τρώων, καὶ
τρωϊάδων κλέος εἶναι. οὕτω καὶ ἡ πενελόπη τὸν ἐσθῆτα κα-
τασκευάζει καλὸν τὴν ἡρωῖ ταφῆϊον καὶ ταῦτα μὲν μέ
γιστα· τὸ δὲ πρῶτον τούτων ἅπαντα, καὶ ἀνθρώπους
ἐπικαίειν τὸν ἀχιλλέα τῇ τοῦ πατρόκλου πυρᾷ· ὃν ἐπαινῶν
λέγει· διὸ καὶ ἐπιφωνεῖ· κακὸν δὲ φρεσὶ μήδετο ἔργα.

Κ αὐτὰ πολυάδροις ἡ πρῶτος ἤγαγε τύμβον ἐπεσσύμενος
ἕνα χαλκὸν καὶ ἐξαγαγόντες· καὶ τὰς ἐπιταφίους ἀγῶνας
ἔθηκε πρῶτος ταῦτα μὲν οἰκεῖα τοῦ τε εἰρήνης, καὶ τοῦ
ἐν πολέμῳ κατεστῶτων· τὰς δὲ περὶ τὰς πολέμους ἐμ
πειρίαν, ἣν καὶ ταπτικὴν τινὰ κάλλος· ἡ ποίησις ἐποι
κιλμένη μὲν πεζομαχίαις, τε καὶ ἱππομαχίαις, ἐπιναυ-
μαχίαις.

μαχίας, παρατάξεσι, μονομαχίας, πολλὰς ἢ κρα
τηκὼς πριέχουσα, ὧν ὀλίγα παραθέσθαι δεῖν ἄξιον.
Ἐν δὲ ταῖς παρατάξεσιν αὐ μὲν πρότεταχθαι τὸ ἱππικὸν,
καὶ ἕπεσθαι τὸ πεζόν· καὶ τὸν μὲν δεξιὸν κέρας ἱππι
κὴν πᾶσαν μὸν πρῶτα σωὶ ἵπποισι, καὶ ὄχεσφι, πεζὸς δ' ἐ
ξόπιθεν σὺν σάσ', πολέας τε, καὶ ἐθάλας· καὶ τὸ εἶναι ἐν
τοῖς στρατιώτας ἡγεμόνας κατὰ τάξεις· ἐπὶ δ' ἦσαν ἡ
γεμόνες φυλάκων· ἐκέκλητο δὲ ἑκάστῳ κῆρυξ ἄμ' ἕπεσθαι,
ὁλιγόφωνός τε ἔχεα χρὴν ἔχοντες.
Καὶ τῶν ἡγεμόνων, οἱ μὲν προαγωνίζεσθαι ἐν πρώτοις τε
ταγμένοις· οἱ δὲ κατόπιν τεταγμένοις, ἐπείγειν τοὺς λαπο
μένους πρὸς τὴν μάχην· ὅτι δ' ἀμφὶ ἴσου μενῆα δαΐφρονα
θωρήσσονται· ἰδομενῆος μὲν, ὑπὸ προμάχοισι συὶ ἐι
κελος ἀλκὴν, μηριόνης δ' ἄρα οἱ πυμάτας ὄρσαι
φάλαγγας.
Καὶ ὅτι δεῖ τὴν δυνάμει διαφέρονταν ἐν τοῖς ἔξω στρα
τεύεσθαι ὡς πρὸ τείχους τοιῶν πριβεβλημένους, τὸν
δὲ βασιλέα ἐν τῷ ἀσφαλεστάτῳ, τετέσι τῷ μεσαιτάτῳ
κατασκηνᾶν δεῖπνυσιν, ἐν τῷ τὴν μὲν γενναιοτάτους τὸν
ἀχιλλέα, καὶ τὸν αἴαντα ἐν τοῖς ἐχάτοις μέρεσι τῶν νε
ῶν κατεσκηνωκέναι· τὸν δὲ ἀγαμέμνονα, καὶ τοὺς ἄλ
λους ὀρίσους, ἐν τῷ μέσῳ· καὶ τὸ ἐν τῷ στρατοπεδεύε
σθαι χάρακός τε πριβάλλεσθαι, καὶ τάφρους ἀποσκά
πτειν, εἰς εὖρος, καὶ βάθος, καὶ σκόλοπι κυκλῳ διαλαμ
βάνειν, ὡς μή τε ὑπερπηδᾶν τινα διὰ πλάτος, μή τε διὰ
βάθος κατιέναι· φοβεῖσθαι γὰρ νεταί τε ἐν τοῖς πολεμίοις,
καὶ παρὸ μήρῳ· ἀπὸ γὰρ δεισάντες τάφρος εὐρεῖα ἐ τὸν
ὑπερθορεῖν χρεὸν, ἔτε πρῆσαι ῥηϊδίη· κρημνὸν γὰρ
ἐπιρρεφέα πρὶ πᾶσαν ἔτασαν ἀμφοτέρωθεν· ὑπερ
θεν δὲ σκολόπεσιν ἐξέσιν ἠρήρεισο· ἔτασαν δ' ἀγχι

ὧν πυνθάνεσθαι καὶ μεγάλως ἡδίων ἀνδρῶν ἀλεωρὴν· καὶ μαχόμενοι θνήσκουσι γενναίως οἱ τέτριτοι πόλιοι· μὴ μὰν ἀσπουδεῖ γε, καὶ ἀκλεῶς ἀπολούμενοι. ἀμὰ μέν τι ῥέξασθαι ἐναμένοισι πυθέσθαι· καὶ πάλιν· ὃς δείσει ὑμέων βλήμβρος ἠὲ τυπείς, θάνατον, καὶ πότμον ἐπισσεῖται τεθνάμεν· ὃν δ' ἂν ἐγὼν ἀπάνευθεν ἐών ἐθέλοντα νοήσω, αὐτός οἱ θάνατον μητίσομαι.

De Virtute Virtutis

Ἐν δὲ ταῖς μάχαις ὃν μὲν πρόπον, καὶ ὅπως διαφόρως, καὶ ποικίλως ἢ ἥρωας ποιῆ τιτρώσκοντας, καὶ τιτρωσκομένους, τί δεῖ λέγειν· ἐκεῖνο δὲ ὑπομνῆσαι ἄξιον, ὅτι τὴν δι' πρόσθεν τετρωμένης ἡνιόχου μεθαμένας τε πὼς ἐκ τοῦ σωτέσθαι, καὶ παραμένειν προθυμίαν ἀναδυόντας· ἢ ὑπὸ νῶτον, ἢ τὸ μεταφρένου πεπληγότας, ἅτι μωτέρους, ὡς ἐν τῷ φεύγειν τὸν πεπονθότας, καὶ τὰ σῶα ἐκτρέπεσθαι παρ' ὁμήρου· εἰπὲ δὲ καὶ βλῆτο νόμβρος, ἠὲ τυπείς, ὃν ἂν ἐπ' αὐχένα ὄπιθεν πέσοι βέλος· ἀρ' ἐν νώτῳ· ἀμὰ μὲν ἢ σέρνον, ἢ νηδύος ἀντίος ᾖσθε, πρόσω ἰεμένοιο μετὰ προμάχων ἀρίσυν· καὶ πάλιν· ἀ μέν μοι φεύγοντι μεταφρένω ἐν δόρυ πήξας· ἀμφὶ δὲ θοὺς μεμαῶτι διὰ στήθεσφιν ἔλασσον· χρησίμως δὲ καὶ ἐν τῇ δοπῇ τῶν πολεμίων παραινεῖ μὴ πρὶν τὰ σπύλα γίνεσθαι, μὴ δὲ ἐνδιδόναι κομπὸν φυγῆς· ἀμφὶ ἐγκεῖσθαι καὶ διώκειν· μήτις νεῶν ἐπάρων ἐπιβαλλόμενος μετόπιθεν μιμνέτω, ὡς μὲν πλεῖστα φέρων ἐπὶ νῆας ἵκηται· ἀμφὶ ἀνδράσι κτείνομεν ἑπτὰ δὲ καὶ τά, ἔνθα λοι νεκρὸς ἀμπεδίον συλήσετε τεθνειῶτας·

Ἐπὶ δὲ παρ' αὐτῷ πάσης ἠλικίας κατορθώματα, ὑφ' ὧν

πᾶς ὅς τις ἓν ἐπαρθείη· ὁ μὲν, ἀπὸ μάλων, ὑπὸ τ' ἄχιλ
λέως, καὶ ἄλαντος, καὶ διομήδης, ὁ δὲ νεώτερος, ὑπὸ τε
ἀντιλόχε, καὶ τ' μηριόνη ὁ δὲ μεσαπόλιος, ὑπὸ τε ἰδο
μενέως, καὶ τε ἀθυαλέως. ὁ δὲ γέρων, ὑπὸ τε νέστορος· καὶ
πᾶς βασιλεὺς ὑπὸ τούτων ἁπάντων, καὶ τε ἀγαμέμνο
νος· τοιαῦτα μὲν τῶν πολιτικῶν λόγων, καὶ πράξεών
ἅπτ παρ' ὁμήρῳ τὰ λήμματα·

Disciplina prudentiæ actiuæ

Θ εασώμεθα δὲ καὶ περὶ τῶν ἰατρικῶν, εἰ καὶ τούτων μὴ
ἔχειν ἀπείρως ὅμηρος· καὶ ὅτι μὲν πολλὴν ἀξίαν τ τέ
χνην ὑπελάμβανε, δῆλον ἐκ τούτε· ἰατρὸς τ' ἀνὴρ πολ
λῶν ἀντάξιος ἄλλων· δοκεῖ δὲ ἡ ἰατρικὴ ἐπιστήμη εἶναι
νοσερῶν, καὶ ὑγιεινῶν, ἄπερ ἐν τούτων ἔστι μαθεῖν, ὅτι
μὲν ἐπιστήμη· ἰητρὸς δὲ ἕκαστος ἐπιστάμενος περὶ πάν
των· ὅτι δὲ ὑγιεινῶν· καὶ νοσερῶν, φάρμακα πολλὰ μὲν
ἔσθλὰ μεμιγμένα, πολλὰ δὲ λυγρὰ, σημαίνει τούτων
ἕκατερον· ἔστι μὲν τῆς ἰατρικῆς, θεωρητικὸν μὲν, τὸ διὰ
τῶν καθολικῶν λόγων, καὶ διὰ μεθόδε ἐπάγον ἐπὶ πὶ
τῶν κατὰ μέρος γνῶσιν· τοῦτο δὲ ὧ μέρη, τὸ μὲν, σημειωτικὸν· τὸ δὲ, αἰτιολογικὸν· πρακτικὸν δὲ τὸ, διὰ τ'
ἐυχρείε ὠῆς βαδίζον· τοῦτο δὲ μέρη, τὸ μὲν, διαιτη
τικὸν, τὸ δὲ, χειρουργικὸν, τὸ δὲ, φαρμακευτικὸν· πῶς
δῶν ἑκάτερον τούτων ὅμηρος ἐπιβέβληκεν, ὅτι μὲ θεω
ρητικόν τι εἶναι ἐπίσταται, ἐν τούτῳ αἰνίσσεται· τοῖα διὸς
θυγάτηρ ἔχε φάρμακα μητιόεντα· μητιόεντα τ λέγε,
σημαίνοτι κατὰ τέχνην θεωρητικὴν ἐσκευασμένα·

Lydia Cina

Τ ὁ δὲ σημειωτικὸν ἀντικρυς ἱστορεῖ, διὰ τὸ ἀχιλλέως·
μαθητὴς τὸν ὧν χείρωνος, πρῶτος πὶ αἰτίαν τῆς κατα
χρήσης τ ἕλληνας νόσε κατενόησε· σωτηρὸν ὅτι τὰ
ἐπιρρήμια νοσήματα, ἐκ τὸ ἀπόλλωνός ἅπτν, ὅς γε δο
κεῖ ἶναι ὁ αὐτὸς τῷ ἡλίῳ· ἔστος τ τὰς ὥρας τ' ἔτους ἐπὰ

Achillem disciplina Medicinæ primus morbi cau
7 ῆ si exercitū dy
screhendi.

γή· αἷ πρὸς ὅτ' ἂν ὦσι δυσκράτως διαφθείρωσι, νοσήματος αἰτίαι καθίστανται. καὶ τὸ ὅλον, τήν τε σωτηρίαν, καὶ τὸν ὄλεθρον, τῶν ἀνθρώπων τῷ ἀπόλλωνι, τῶν δὲ ζώων τῇ ἀρτέμιδι, τυτθὸν τῷ ἡλίῳ, καὶ τῇ σελήνῃ ἀνατίθησι· πρέσβεις γὰρ ἀμφοτέρους μᾶλλον ἂν ποιῶν, διὰ πλῆθος τῶν ἀντὶ τοῦ ζώντων βολὴν ὅπως ὁ διορίζων τὸ ἄρρεν, καὶ τὸ θῆλυ, ἐπεὶ καὶ θρέμμα μόνον φύσει τὸ ἄρρεν γένος. διὰ ταῦτα γὰρ φησιν, ὃν μὲν πελέμαχον πηλικῶνα εἶναι, ἀπόλλωνός γε ἕνεκα· τὰς δὲ τῶν ἀρρένων κύρας ὑπὸ τῆς ἀρτέμιδος ἁλῶναι. ἡ δὲ θανάτους αὐτοῖς ἀνατίθησιν, ἔν τε ἄλλοις πολλοῖς, καὶ ἐν οἷς διορίζει· ἡ μὲν ἀπόλλων πέφνεν ἀπὸ χειρὸς βιῶν, χωόμενος νιόβῃ, τὰς δ' ἄρτεμις ἰοχέαιρα· ὅπως ἡ μὲν τὸ ἀνώδυνος ἐπιπολὺν διήνεγκε σημεῖον, καὶ αἴτιον τοῦ ταχέως, καὶ νόσων· λαμπρότερος μὲν ὁ ἥλιος καὶ θερμὸν δέ τε σώματα τύπτει, καὶ φέρει πολλὸν πυρετὸν δειλοῖσι βροτοῖσιν· αἰτιολογεῖ δὲ ἐν οἷς λέγει περὶ τῶν θεῶν· ἐκ δὲ σῖτον ἔδυσε, καὶ πίνυσ' αἰθοπα οἶνον· τύνεκ' ἀναμονὲς εἰσι, καὶ ἀθάνατοι καλέονται· ἡ γὰρ τροφὴ, ὥστε ξηρὰ, καὶ ὑγρὰ ἄνευ ματος ἡ γεννητική· τὸ δὲ τρέφει μᾶλλον τὸ σῶμα πλεονάσαν, ἢ διαφθαρὲν, νόσων αἴτιον γίνεται.

Τὸ δὲ πρακτικὸν μέρος τῆς ἰατρικῆς. ὥστε ἀκριβοῦν, ἐν ᾧ ἡ καὶ διαπτητικόν· πρῶτον μὲν τὸ εἰδέναι τὰ χρόνια τῶν νοσημάτων, καὶ τὰ ὀξέα, ὡς ὅταν λέγῃ τίς νύσε μὲν ἐλάμασε τανυπλεγέος θανάτοιο, ἢ ὁλοὴ νόσος, ἢ ἄρτεμις ἰοχέαιρα, οἷς ἀγανοῖς βελέεσσιν ἐπωχωμένη καπέφνεν;

Φανερὸς δὲ ἡ καὶ πλείστας ὑγιείας ὑπολαμβάνων· ἐποίησε δὲ ἡ ἥρωσι σπουδαίοις κρέασι χρωμένους, περιελὼν τὸ περὶ τὰ βρώματα πριεργίαν· καὶ ἐπὶ ἡ γαστὴρ

Sol Dominatur Corporibus Corruptis & Luna Liquoribus

Canicula Aestus & Morbos Augens

ἀφ' ἧττα πληρώσεως, ὅταν τὰ πρόσφατα σιτία κατα-
φθέντα, τὸ μὲν ὀμῶδον τῷ σώματι, εἰς κορδίαν, καὶ τὰς
φλέβας ἀνατέμψῃ· τὸ δὲ πρίσιμον ἐκβάλῃ, τοιαῦτά
φησιν, ἀμὲ μὲν δορπῆσαι ἐάσατε κηδόμενόν περ·
ἠ γάρ τι συνερῇ ἐπὶ καὶ σέρι κωΐτρον ἄλλο ἔπλεν ἴτ'
ἐπέλασεν ἔο μνήσασθαι ἀνάγκη· καὶ πάλιν· ἠδὲ μάλ'
αἰεὶ ἐσθέμεναι κέλεται, καὶ πινέμεν· ἐκ δὲ με πάντων
λιθάνει, ὅσσ' ἔπαθον, καὶ ὀνήσασθαι ἀνώγει.

Ῥιζικὰ ἐμετικὰ ἀβρωτίσματα

Ὁ ἴδιος δὲ καὶ ὄινου χρήσεως διαφορὰς· ὅτι ὁ μὲν πολὺς πο-
θῆς, βλαβερός, ὁ δὲ μέτριος, ὠφέλιμος· τὸ μὲν γὰρ τως· ὁ οἶ-
νος τοι μελιηδής, ὅστε καὶ ἄλλους βλάπτει, ὃς ἂν μιν
μαινόων ἕλῃ, μήδ' αἴσιμα πίνῃ· τὸ δὲ ἐκείνως· ἀνδρὶ δ'
ἠκεμιῶτι, μένος μέγα οἶνος ἀέξει· καὶ ὅτι θωμάμενος
ποιητικὸς ὁ δὲ ἀνὴρ οἴνοιο κορεσάμενος, καὶ ἐδω-
δῆς, ἀνδράσι δυσμενέεσι πανημέριος πολεμίζῃ, βαρ-
σαλέον νύτοι ἦτορ ἐνὶ φρεσίν, ἐδὲ τι ῥίγα πρὶν κάμνῃ,
πρὶν πάντας ἐρωῆσαι πολεμίους· καὶ τὸ μὲν ἡδὺ, εἰς
τὰς φιλοφροσύνας παραλαμβάνει, ὡς φάσκοντος
δὲ μελίφρονα δῖνον ἐπίρνα· τὸ δὲ σφοδρὸν, καὶ κερ-
τομικὸν, τῷ νύκλωπι· ὃ δυσαρέστησι· τὸ δὲ εὔφρονα,
προσίασιν· ὅτος γάρ ἔην ὁ πράμνειος, ὃν τῷ μαχάο
νι τερφθέντα δίδωσιν.

Καθαρὸν καὶ ψυχρὸν οἶνον

Ὅπως δὲ καὶ γυμνασίοις χρῆσθαι παραινεῖ, ἁλλ' ἁγνὸν ἐκ
πολλῶν· ἀεὶ τὸ πονοῦντας ποιεῖ· ἦ μὴν, ἐν τοῖς προσήκου
σιν ἔργοις, ἦ δὲ σ' ἐπιπροθυμάτων· ὁπότε κε ἦ μάλι
στα τῇ ἡδυπαθείᾳ κεχηνότες φάσκωσι, καὶ ἦ ἀσώτως
μνησῆρα σφυζομένους εἰσάγει· καὶ πόνος μὲν ἦ αὖ
τάρκης αὐτίος ὑγιείας· ὅτως νομίζει· τῶν δὲ καταβα-
ρύντων τὸ σῶμα καμάτων, ἵαμα τὸ ὕπνον εἶναι· φησὶ
τῷ ὀδυσσεῖ κεκμηότι ἄρ' ὁ θαλάμοις ὕπνον ἐπέλ

Σύφωνα ῥιγοῦντα

Ἐχθρὰ τροφὴ ὕπνος

θεῖν· ἵνα μὴν παύσωμεν τὰ λοιπὰ δυσπραγοῦντες καθάπερ ὁ ἀπὸ φύσεως ἀπαιτῶν τὸ πεπιμπλὸς σῶμα ἀναπαύεσθαι καὶ ὀλίγον τὸ θᾶττον ὑπάρχει, τοῦτο ἐπὶ τὰ δώματα πάντη ἐξικνεῖσθαι, ἐν τῷ βάθει μένειν πῶς ἡ καὶ ἀναπαύεται τὸ σῶμα, ὅτι ἡ σύστασις τῆς ψυχῆς ἀνίεται, καὶ τὰ μέλη τοῦ σώματος λύεται, καὶ τοῦτο ἀναργῶς εἶπεν· οὗδε δ' ἀνακλινθῆσαι, λύθεν δέ οἱ ἄψεα πάντα· τὸ δὲ ἐν τοῖς ἄλλοις ἅπασιν ἀμέρσον, ἢν δὲ ὠφέλιμον, καὶ ἐπὶ τοῦ ὕπνου ἀποφαίνεται, ποτὲ μὲν ἡδὺν ἐπῶν, ἀνίη καὶ πολυὺπνος· ποτὲ δὲ ἀνίη καὶ τὸ φυλάσσειν πάννυχον ἐρήσαντα.

Ἐπίσταται δὲ καὶ ἀέρων δυσκρασίαν ὑγιείας ὄσαν παρασκευαστικὴν, ἐν οἷς φησιν· ἀμφὶ σ' ἄστυ ἁλύσκουσι πεδίον, καὶ πείρατα γαίης, ἀθάνατοι πέμψουσιν, ὅθι ξανθὸς Ῥαδάμανθυς· τῇ περ ῥηϊστη βιοτὴ πέλει ἀνθρώποισιν· οὐ νιφετὸς, οὔτε χάρη μάλα πολὺς, οὐδέ ποτ' ὄμβρος· ἀεὶ ζεφύριος λιγὺ πνείων ἀήτας ὠκεανὸς ἀνίησιν ἀναψύχειν ἀνθρώπους· ἐν οἷς δύο ταῦτα μάλιστα ὀρθῶς διεγνωκὼς φαίνεται, ὅτι τε ἡ ὀρχὴ τῆς ἀνέμων ἀπὸ τῆς ὑγρῶν γίνεται, καὶ ὅτι τὸ ἔμφυτον τῆς ξώου θερμὸν, δεῖται ἀναψύξεως· καὶ ἰάματα τὰ παθημάτων οἷδε· λειποθυμίαι μὲν ἀναψύξειν, ὅπερ καὶ ἐπὶ τῆς σαρκοδόνος ποιεῖ· αὖθις δ' ἀμπνεύθη, πρὶν ἢ πνοιὴ βορέαο ζώρεε ἐπιπνεύσασα κακῶς με κακφιόταθυμον· φύξεως δὲ θέρμην, ὡς ἐπὶ τοῦ ὀδυσσέως με κεκμασμένον, ὃς ἐν τῷ θάμνῳ κρύπτεται, ἔνθα καὶ ἀνέμων, καὶ ὄμβρων ἦν ἠσκημένα· καὶ τῇ παρούσῃ ὕλῃ κεκάλυπται, καὶ ὅπερ ἡ λαγὼς, καὶ χίσματα ὡς ἐπὶ τοῦ διομήδους, καὶ τοῦ ὀδυσσέως ἐκ τοῦ νυκτεγερσίαν ἀναπαμιοθέντων· καὶ ὃ οἷον ὠφέλειαν ἔχει τὰ λαγὼς, διὰ τούτων μάλιστα δηλοῖ θυμῆρες καὶ ἀσασα κατὰ κρατός τε, καὶ ὤμων· φανερὸν δὲ καὶ ὅτι ἐντεῦθεν ἔχοντα τὸ ἀνὴ

Importantia artis adfinem corpora

τὰ νᾶρα· εἰπόντος δὲ αὐτῶν, καὶ τίνι ἴασιν τὸ πόπε λαμβάνει· οὗτος δέ, φησὶν ἡ Διὸς τὸ θερμανθῆναι, καὶ ὑγρανθῆναι· ξηραίνεσι γὰρ οἱ πόποι.

Λοιπὸν δὴ σκοπῶν ὅπως καὶ τὰ τῆ χειρουργίᾳ κατενόησεν· ἐν τῷ μὲν ἑλαον, ὁ μαχάων ἴατο, πρῶτον ἐκκομίσαι σάλπιγος τὸ βέλος, εἶτα σπεφάμενος τὸ ἕλκος, καὶ ἐπισσάσας τὸ αἷμα, καὶ ξηρὰ φάρμακα ἐπιπάσας· καὶ τὸ πρόσθιον, ὅτι τεχνικῶς αὐτῷ πράττεται· τὸ δὲ ὄπιθον κατὰ τὸ μηρὸν τερπόμενον, πάροκλος πρῶτος τῷ αὐτῷ τρόπῳ μαχαιρίῳ διαχειρίζει· εἶτα ἀπονίψας ὕδατι λιαρῷ, ὡς ἀνωδυνώτερον γένοιτο, ῥίζαν ἐπιβάλλει· πολλαὶ γὰρ παντοίαι πρὸς ἴασιν ἐλκῶν πεφύκασιν· ἔγνω δὲ, καὶ τοῦτο, ὡς τὰ πικρὰ φάρμακα πρὸς τὸ ξηραίνειν δύναται ἐπιτήδεια· ξηραίνεσθαι γὰρ ἐβούλετο τὰ ἕλκη, καὶ μὴ αὐθέως ἰασάμενος ὁ πάροκλος ἀπῆλθεν· ὥστε, καὶ τὸ ἕτερα λόγοις· ἐβλάπτετο δὲ ὀδυνωμένῳ παραμυθήσασθαι τὸ μαχάονα ῥωθέντα τὸ μεγάλην, ὃ ἡμέριον πλυνὴν ἐπὶ τῷ ὤμῳ, εἰπόντος ἀφυλακτοτέρα διαίτῃ ποιεῖ ῥωμένου· ἴσως καὶ τὸ τέχνην αὐτὸς δείκνυσιν· ὁ δὲ τοὺ ἄλλα ὡς ἕτυχε διαιτώμενος, ἑωυτὸ ἐβλάπτε ῥωόμενος.

Κἀκεῖνο δὲ δῆλον καταλαβεῖν παρ' αὐτῷ, ὅτι μὴ ἀγνοεῖ τῶν ἰατρικῶν φαρμάκων· τὰ μὲν ἐπίπλασε, καὶ ἐπίπασε, ὡς ὅταν ἕλκη· ἐπάρδει πίνα φάρμακα πάνυ· τὰ δὲ ποτὰ, ὅπου ἡ ἥλκεν τῷ κραπῖρι μίσγ. φάρμακον νηπενθὲς, ἀχολόν, τε κακῶν ἐπίληθες ἁπάντων· ὃν αὐτὸς δὲ βοτὸν, καὶ τῶν δηλητηρίων φαρμάκων τὰ μὲν ἐπίχριστα δίδωσιν ὡς ἐν τούτοις φάρμακον ἀνδροφόνον δοκίμενος, ὅθρα δὲ μὴ ἐς χρείαθαι χαλεπὸν εἶναι· τὰ δὲ ποτὰ ἐν ἐνδύοις ἐν βάλλει κρατῆρι, καὶ ἢ μέρας πάντας ὀλέσῃ· ταῦτα μὲν καὶ περὶ τῶν παρὸ μίρῳ ἰατρικῶν.

Χειρουργικά

Varia Medicinalia

Ars vaticinandi

Ὦ φελᾶνται δ' οἱ ἄνθρωποι, ὡς περὶ ἀλόγου πράγματος ἰατρικῆς, ὅταν ὅτε καὶ ἀλόγου τὸ μαντικῆς· τούτου δ' ἐστὶ τὸ μὲν τεχνικόν φασιν εἶναι οἰωνιστικὸν εἶδος, ἱ βοσκοτρόφον, καὶ σημειωτικὸν, καὶ περὶ φήμας, καὶ κληδόνας, καὶ σύμβολα, ἃ περ συνελίβδην τεχνικῶς προσηγόρευσαν· τὸ δ' ἄτεχνον, καὶ ἀδέσποτον, τοῦτ' ἔστιν ἐνθουσιαστικὸν, καὶ ἐνθουσιασμὸς, ὃ δι' ταῦτα ἔφη ὅ μιρος ἡνιόχου· ἀπὸ δίσκου μὲν μάντις, καὶ ῥῆσις· καὶ ἀνδροπόλως· ἔτι δὲ καὶ οἰωνιστὰς, καίτοι ἐν ἰθάκῃ σοφὸν, ὄρνιθάς τε γνῶναι, καὶ ἐναίσιμα μυθήσασθαι· καὶ ὀνειρώσας φησὶν ὀχλοῦντος, φήμην τίς μοι φαίνει ἐγρομένων ἀνθρώπων ἐνθορεῖν· ἔνθεν δὲ διὸς τέρας φάνη μοι· καὶ παρὰ μὲν ἢ παρ' αὐτῷ σύμβολον ἀγαθὸν γίνεται· τοῖς δὲ μνησῆρσιν ἐφίσταται ἔνθεος μάντις, ἔνθινος ἐπινοίας σημαίνων τὰ μέλλοντα· ἐπεὶ δὲ καὶ ὁ ἔλενος αὐτὴν οὐσίαν θεσπεσίαν φωνῆς γεγονέναι, ὡς ἐγὼν ὄπ' ἄκουσα θεῶν ἀθανατάων, παρέχει σύδειν ὅτι καὶ σωκράτης ἀπὸ τῆς τοῦ δαιμονίου φωνῆς ἐμαντεύετο.

Tragedia ex Homeri poematum

Τίς ἔτι καταλήπεται λογικὴ τέχνη, ἢ ἐπιστήμη; ἀλλὰ μὴν καὶ ἡ ῥαψῳδία τὴν ἀρχὴν ἔλαβεν ἐξ οὗ μέρη, εἰς ὄμηρον πραγμάτων, καὶ λόγων ἐπαρθεῖσα· ἔστι δὲ παρ' αὐτῷ πᾶν εἶδος ποιήσεως, ἔργα μεγάλα καὶ παράδοξα, καὶ θεῶν ἐπιφάνειαι, καὶ λόγοι φρονίμως μεσοὶ, καὶ ἤθων παντοίων μιμητικοί· σωκλεῖδης δὲ φησὶν ὅτι οὐδὲν ἄλλο, ἀλλ' ἢ ὁράματα αὐτὸς ᾖδε τὰ ποιήματα, σεμνὰ μὲν, καὶ ἐμπρεπῆ, τῇ λέξει, καὶ τῇ διανοίᾳ, καὶ τοῖς πράγμασιν· ἀκὲ ἔχοντα δὲ ἀνοσίων ἔρωτα ἐπιδείξῃς, ἁμαρτὰ θεμίστες, ἢ παίδων, ἢ γονέων σφαγὰς, ἢ ὅσα ἄλλα ἢ νεωτέρα ποιητικὴ πραττόμενα· ἀλλὰ καὶ ὅταν τοιούτου τινὸς ἐπιμνησθῇ, ἐπικόπτειν μᾶλλον, ἢ ὀνειδίζειν ῥᾴδιον τὸ ἁμάρτημα· ὡς ἐπὶ τῆς κλυταιμνήστρας πε-

πόιμε φησὶ γὰρ ὅτι φρεσὶ μὲ χρὴ τ' ἀλαθῆσι κ πρότερον, ἕως παρόντα εἶχε τ' ἀοιδὸν, τυτέσι διδάσκαλόν τι ναὺτὸ τὰ ἀγαμέμνονος ἐπισαθέντα ὅπως αὐτῇ τὰ ἄριστα παραινῇ· τὸν δ' ἐκ ποδῶν ὁ ἀγήραος θέμενος, παρέπεμψεν αὐτὴν ἐξαμαρτάνειν· καὶ ὅτι ὁ ὀρέστης δικαίως ἐτιμωρήσατο τῷ πατρὶ, τ' ἄγαθον ἀποτείνασ, πλὴν δι' τῆς μήτρὸς ἀναίρεσιν ἀπεσήμηνε· κ ἄλλα πολλὰ τοιαῦτα ἐν ᾠδῇ ἐστι παρὰ τῷ ποιητῇ, φαγωδίαν σεμνὴν, καὶ ὃν ἀπάνθρωπον γράφοντι·

Hunc y
trumpe
ea quæ
sum mi
mis aro
cia

ὁ δ' ὃν ἠ ἔλαυνον καὶ ἤκων μωδίαν ἐνθένδ' ποθὲν ἔλαβε τ' ἁρμονίαν· εὗρε γὰρ ὅτι καὶ παρὰ τῷ τὰ σεμνότατα, κ ὑψηλότατα ἁπάντων μένω, ἐπεισόδιά τινά ἐστι γέλωτα ποιοῦντα· διὸ ἐν τῇ ἰλιάδι, ὁ μὲν ἥφαιστος χωλεύων, ἐισάγεται δῶν οἰνοχοῶν τοῖς θεοῖς ἄσβεστος δ' ἀνῶρτο γέλως μακάρεσι θεοῖσιν· ὁδὲ θρασίστητῷ τε σώματι μὲ χίσος, καὶ πλὴν ψυχὴν κάκιστος ἦν τὸ βορυβεῖν, καὶ κακολογῶν, κ αὐχᾶν, ἐφ' οἷς τυπτόμενος ὑπὸ τὸ ὀδυνάεως, πάντας γελᾶν παρεσκεύασεν· οἱ δὲ καὶ ἀχνύμενοί περ, ἐπ' αὐτῷ ἡδὺ γέλασαν· ἐν δὲ τῇ ὀδυσσείᾳ ὁ παρὰ τοῖς ἥδυπαθῆσι φαίαξι δημοδόκος ᾄδει πῶς ἄρεος, καὶ ἀφροδίτης μοιχάγαν, κ ὅπως ἐμπεσόντες εἰς τὰ τ' ἡφαίστου δεσμά, κατάρωροί τε ἐγένοντο, κ γέλωτα παρέχον τοῖς ἄλλοις θεοῖς· οἱ κ ἐσκώπτων χαριέντως πρὸς ἀλλήλους, καὶ παρὰ τοῖς ἀσώτοις μνηστῆρσιν εἰσάγεται ὁ πῶς χὸς ἔρος, τῷ γενναιοτάτῳ ὀδυσεῖ ἐρίζων εἰς πάλην, καὶ ἐν τῷ ἐρωφανέσθαι καταγέλαστος· καθόλ γὰρ οἰκεῖόν ἐστι τῇ τ' ἀνθρώπου φύσει, μὴ μόνον ἐπιτείνεσθαι ἀλλὰ καὶ ἀνίεσθαι, ἵνα κ διαρκῇ πρὸς τ' ἐν τῷ ζῆν πόνους· τοιαύτη μὲ κ ἡ θυμηδία παρὰ τῷ ποιητῇ ἐυρίσκεται· εἰδὲ δι μετ' αὐτ' εἰσαγάγοντες τ' ἥφαιστον μῦθοι ἀλλοκότοις, κ ἀπεσκευασμένοις, ὡς παρασκευὴν γέλωτος

Comica
materia
ex Ho.
mero

Remissio
animi

ἐχρήσαντο, οὐκ ἂν εἴποιεν ἄμεινόν τι εὑρηκέναι, καὶ τὴν τῶν ἐρω-
τικῶν διαθέσεων, καὶ λόγων, ὅ μηρος μὲν ἐγκρατῶς ἐπε-
μνήσθη, ὥς πρ ὁ ζεύς φησιν· οὐ τὴν πώποτέ μ' ἔρως φρένας
ἀμφεκάλυψε καὶ τὰ ἑξῆς· καὶ ἐπὶ τῆς ἑλένης, οὐ νέμεσις
τρώας τε, καὶ εὐκνήμιδας ἀχαιούς· τοιῇ δ' ἀμφὶ γυναικὶ
πολὺν χρόνος ἄλγεα πάσχειν· καὶ ὅσα ἄλλα τοιαῦτα· οἱ δ'
ἄλλοι ποιηταί ἰακρατῶς, καὶ ἀμέτρως ἁλισκομένους τῷ
πάθει τὴν ἀνθρώπους ἐποίησαν· καὶ ταῦτα μὲν ἐπὶ τοσοῦτον·

Inscriptio-nes

Ἔστι δέ τι χάριεν εἶδος λόγων, καὶ τὸ τῶν ἐπιγραμμάτων·
ὅ πρ εὑρέθη ἐπὶ τῶν ἀγαλμάτων, καὶ αὖ πάλιν ἐπὶ
τῶν μνημάτων, σημαῖνον σαυτόμως τὸν τούτων τινὶ
τετιμημένον· ἀνιὰ καὶ τοῦτο ὁ μήρου, ὅπου φησίν· ἀνδρὸς
μὲν τόδε σῆμα πάλαι κατατεθνειῶτος, ὅν ποτ' ἀρι-
στεύοντα, κατέκτανε φαίδιμος ἕκτωρ· καὶ πάλιν, ἕκτο-
ρος ἥδε γυνὴ, ὃς ἀριστεύεσκε μάχεσθαι τρώων ἱππο-
δάμων, ὅτε ἴλιον ἀμφιμάχοντο.

Ζωγρα-φία

Εἰ δὲ καὶ ζωγραφίας διδάσκαλον ὅ μηρον φαίη τις, οὐκ ἂν
ἁμαρτάνοι· καὶ τὸν εἶπέ τις τῶν σοφῶν, ὅτι ἔστιν ἡ ποιη-
τικὴ, ζωγραφία λαλοῦσα· ἡ δὲ ζωγραφία ποιητικὴ σιω-
πῶσα· τίς οὖν πρῶτος, ἢ τὶς μᾶλλον ὁ μήρου τῇ φαντα-
σίῃ τῶν νοημάτων, ἢ τῇ εὐφρωνίᾳ τῶν ἐπῶν ἐκόσμησε
θεοὺς ἀνθρώπους, τόπους πράξεις ποικίλας· ἀνέπλασε δὲ
τῇ ὕλῃ τῶν λόγων, καὶ ζῶα παντοῖα, καὶ μάλιστα τὰ ἀλ-
κιμώτατα, λέοντας, σύας, παρδάλεις· ὧν τὰς ἀφορ-
μὰς, καὶ διαθέσεις ὑπογράψας, καὶ ἀνθρωπείοις πράγμα-
σι παραβαλὼν, ἔδειξεν ἑκατέρας τὰς οἰκειότητας· ἐ-
τόλμησε δὲ καὶ θεοῖς μορφὰς ἀνθρώπων εἰκάσαι ὁ δὲ
τὴν ἀσπίδα τῷ ἀχιλλεῖ κατασκευάσας ἥφαιστος, καὶ ἐν-
τορεύσας τῷ χρυσῷ, γῆν, οὐρανὸν θάλασσαν·

Ἔτι δὲ μέγεθος, ἡλίου, καὶ κάλλος σελήνης· καὶ πλῆθος ἄστρων
στεφανούντων τὸν πᾶν, καὶ πόλεις ἐν διαφόροις τρόποις, καὶ τύ-

χμας καθεσώσας, καὶ ξῶν᾽ ἀπενέγκωμαι, καὶ φθεγξόμενα, τίνος
ἀφάνεται τέχνης τοιαύτης δημιουργὸς τεχνικώτερος;
Ιη δωμεν δὲ καὶ ἐπ᾽ ἄλλα ἐνὸς ἐκ πολλῶν παραδείγμα-
τος ὅτι ὁρωμένοις μᾶλλον, ἢ ἀκουομένοις ἔοικε τὰ ποιή-
ματα· ὧν πρῶτα καὶ τὰ τοιαῦτα, ἐν οἷς πλὴν τὸ ὁ
δυναίως φράσας ἐπιφέρει τὰ τῆς ἀρυκλείας· πλὴν χρὴ
νῦς χείρεται καταπρηνέως λαβοῦσα, γνῶ ῥ᾽ ἐπιμασσαμέ
νη, πόθεν, ἢ προέηκε φέρεσθαι. ἆψ δ᾽ ἑτέρωσ᾽ ἐκλίθη
τόδ᾽ ἐπὶ χθονὸς ἐξέχυθ᾽ ὕδωρ· πλὴν σ᾽ ἄμα χάρμα, καὶ
ἄλγος ἔλε φρένα· τὼ δὲ οἱ ὄσσε, δακρυόφιν πλήσθεν· βα
θαλὴ δὲ οἱ ἔσχετο φωνή· ἀφαμένη δὲ γενείου, δυναῖα
προσέειπεν· ἢ μάλ᾽ ὀδυναύς ἐσσι φίλον τέκος· ὃ δέσ᾽
ἔγωγε πρὶν ἔγνων πρὶν πάντα ἀνακτέμὸν ἀμφαφάα
σθαι· ἢ καὶ πενελόπειαν ἐσέδρακεν ὀφθαλμοῖσι, πε
φραδέειν ἐθέλουσα καὶ ἐξῆς.

Ἐν ταῦθα γὰρ καὶ τῶν ἐν πίνακι γραπτῷ δεδημένων τῶν
ὑπὸ τῶ ὀφθαλμὸν πεσόντων δωμένων· ἐμφάνεται πλέω
τὰ μὴ ἐν τῇ ὄψει ἔτι καταλαμβάνα· ἀλλὰ τῇ νοήσει μόνῃ·
ἥτε διὰ τὴν ἐκπλῆξιν ἄφεσις τῆς ὁδοῦ, καὶ ὁ ψόφος τῆς
χαλκῆς, καὶ τὸ ἐκχεόμενον ὕδωρ· καὶ τῆς γραὸς λύπη τε
ἅμα, καὶ χαρὰ, καὶ τὰ ἡνθέντα πρὸς τὸ δυνατέα, καὶ ἃ
πρὸς τὴν πενελόπην ἀποβλέψασα εἰπεῖν ἐμέλησε.

Γ ολλὰ δὲ καὶ ἄλλα γραφικῶς παρὰ τῷ ποιητῇ δείκνυ
ται· ἃ πρὸ ἐν αὐτῇ τῇ ἀναγνώσει θεάσασθαι ἔνεστιν.

Ἐν ταῦθα καιρὸς καταπαύειν τὸν λόγον, ὃν ὡς πρὶ στέφα
νον ἐκ λειμῶνος πολυανθοῦς, καὶ ποικίλης ἐξαντλῆ
τας μούσας ἀνατίθεμεν, καὶ ἂν φρονήσαιμεν εἴτις
ἐπιτιμήσειεν, ὅτι πονηρῶν πραγμάτων ὑπόθεσιν ἐχ
σῶν τῶν τοῦ μήρου ποιήσεων, προσέθημεν αὐτῷ λόγος
φυσικὸς, πολιτικὸς, καὶ ἠθικὸς, καὶ ἐπισήμας ποιη
τικὰς· ἀνάγκη μὴν κἂν τῷ ποιητῇ πράξεις παραδόξους,

Ὑποτύπω-
σις ῥητο-
ρικὴ

Corona
floxa ex flo
ribus
Homeri
cis

καὶ πάθη, καὶ ἤθη διάφορα ὑποθέσθαι· ἐπεὶ τὰ μὲν ἀγαθὰ καθ' ἑαυτὰ, ἁπλᾶ ἐστι, καὶ μονοειδῆ, καὶ ἀκατασκεύαστα· τὰ δὲ τοῖς κακοῖς ἀναμεμιγμένα, πολλοὺς ἔχει καὶ τρόπους, καὶ παντοίας διαθέσεις, ἐξ ὧν ἡ ὕλη τῶν πραγμάτων συνίσταται· ἐν ᾗ παρατιθεμένων τῶν χειρόνων, ἡ τῶν ἀμεινόνων γνῶσις, καὶ αἵρεσις, ῥάων καθίσταται· καὶ τὸ ὅλον, ἡ τοιαύτη ὑπόθεσις παρέχεν ἀφορμὰς τῷ ποιητῇ παντοδαποὺς κινῆσαι λόγους, τὰ μὲν, ἀπ' αὐτοῦ, τὰ δὲ, ἀπὸ τῶν εἰσαγομένων προσώπων· ὥς τε τὴν ἀπὸ τούτων ὠφέλειαν, τοῖς ἐντυγχάνουσι παραχεῖν· πῶς δὲ οὐκ ἂν πᾶσαν ἀρετὴν ἀναθείη μὲν ὁ μήρῳ; ὅπου καὶ ὅσα αὐτὸς μὴ ἐπετήδευσε, ταῦτα οἱ ἐπιγενόμενοι ἐν τοῖς ποιήμασιν αὐτοῦ κατενοήσαν· καὶ χρῶνται μέν τινες πρὸς μαντείαν τοῖς ἔπεσιν αὐτοῦ, καθάπερ τοῖς χρησμοῖς τοῦ θεοῦ· ἄλλοι δὲ ἑτέρας ὑποθέσεις προθέμενοι, ἁρμόζουσιν ἐπ' αὐτὰς τὰ ἔπη μετατιθέντες, καὶ συνείροντες·

ΠΕΡΙ ΟΜΗΡΟΥ ΛΟΓΟΣ ΝΓ. ΔΙΩΝΟΣ ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ.

Ὁ Μὲν δὴ μόκρητος περὶ ὁμήρου φησὶν οὕτως· ὅμηρος φύσεως λαχὼν θεαξούσης, ἐπέων κόσμον ἐτεκτήνατο παντοίων· ὡς οὐκ ἐνὸν, ἄνευ θείας, καὶ δαιμονίας φύσεως, οὕτω καλὰ, καὶ σοφὰ ἔπη ἐργάσασθαι. πολλοὶ δὲ καὶ ἄλλοι γεγράφασιν, οἱ μὲν ἄντικρυς ἐγκωμιάζοντες τὸν ποιητὴν ἅμα, καὶ δηλοῦντες ἐναντία τῶν ὑπ' αὐτοῦ λεγομένων· οἱ δὲ, αὐτὸ τοῦτο, τὴν διάνοιαν ἐξηγούμενοι οὐ μόνον ἀρίσταρχος, καὶ κράτης, καὶ ἕτεροι πλεί

ους τῶν ὕστερον γραμματικῶν κληθέντων· πρότερον δὲ
κριτικῶν· καὶ δὴ καὶ αὐτὸς ἀριστοτέλης, ἀφ' οὗ φασὶ τὴν
κριτικήν τε καὶ γραμματικὴν ἀρχὴν λαβεῖν, ἐν πολ-
λοῖς διαλόγοις περὶ τοῦ ποιητοῦ διέξεισι, θαυμάζων αὐτὸν
ὡς τὸ πολὺ, καὶ τιμῶν· ἔτι δὲ ἡρακλείδης ὁ ποντικός· τού-
των δὲ πρότερος πλάτων πανταχοῦ μέμνηται, τὴν μὲν ἡδο-
νὴν, καὶ χάριν τὴν τῶν ἐπῶν ἐκπληττόμενος· πολλάκις
γε μὴν ἀπομεμφόμενος ἐν τοῖς περὶ θεῶν μύθοις τε, καὶ
λόγοις ὡς οὐ συμφέροντα τοῖς ἀνθρώποις οὐδαμῶς αὐτὰ
εἰρηκότα, πλεονεξίας, καὶ ἐπιβουλὰς κατ' ἀλλήλων, καὶ
μοιχείας, καὶ ἔριδας, καὶ φιλονεικίας περὶ θεῶν ἐπε-
ξιόντα· μετὰ ταῦτα, οὐ μεταδιδοὺς αὐτῷ τῆς αὐτοῦ πό-
λεώς τε, καὶ πολιτείας σοφῆς, ὃς αὐτὸς ἐνόμιζεν ἐσομέ-
νης, ἵνα μή τε ταῦτα ἀκούωσι περὶ θεῶν νέοι ὄντες, οὓς
ἐκεῖνος ἀποφαίνει φύλακάς τε, καὶ ἡγεμόνας τῆς πό-
λεως· μήδ' αὖ περὶ τῶν ἐνᾴδου μηδὲν σκυθρωπὸν λεγό-
μενον, μαλακοτέρους αὐτὰ πρός τε τὸ μάχεσθαι, καὶ τὸ
ἀποθνήσκειν ποιῇ· μηδὲ ὥς περ πολλοὺς κακῶς πολιτευ-
θέντας ἐξ ἀρχῆς ὑπὸ τὰ πρὸς τὰ μὴ φόρα· περὶ μὲν δὴ
τούτων ἕτερος λόγος πλείων, καὶ μακρότερος, καὶ οὐ ῥᾴ-
διος, πότερον ὅμηρος ἥμαρτε περὶ ταῦτα, ἢ φυσικούς
τινας ἐνόντας ἐν τοῖς μύθοις λόγους, κατὰ τὴν τό τε συ-
νήθειαν παρεδίδου τοῖς ἀνθρώποις· οὐ γὰρ ῥᾴδιον διαστῆ-
σαι τὸ τοιοῦτον, καθάπερ οἶμαι δύο φίλων ἀνδρῶν ἀμ-
φοτέρων σεμνῶν τοῦ ἑτέρου τῷ ἑτέρῳ ἐγκαλοῦντος, ἑνὸς
αὐτῶν καταγνῶναι· γέγραφε δὲ ζήνων ὁ φιλόσοφος, εἰς
τε τὴν ἰλιάδα· καὶ τὴν ὀδύσσειαν, καὶ περὶ τοῦ μαργήτου
δὲ, δοκεῖ γὰρ καὶ τοῦτο τὸ ποίημα ὁμήρου γεγονέναι
νεωτέρου, καὶ ἀποπειρωμένου τῆς αὐτοῦ φύσεως πρὸς ποί-
ησιν· ὁ δὲ ζήνων, οὐδὲν τοῦ ὁμήρου λέγει, ἀλλὰ διη-

Plato de Homero

I De Diis

II De inferis

physicae allegoriae ut pro illis temporib.

γὰρ ὅμηρος, καὶ διδάσκων, τὰ μὲν, κατὰ δόξαν, τὰ δὲ, κατὰ ἀλήθειαν γέγραφεν, ὅπως μὴ φαίνηται αὐτὸς αὐτῷ ἐν τισι δοκοῦσιν ἐναντίως ῥῆσθαι. ὃ γὰρ λόγος ὅτος ἀντιφέρεσθαι πρότερον ὅτι τὰ μὲν, δόξῃ, τὰ δὲ, ἀληθείᾳ εἴρηται τῷ ποιητῇ· ἀμφὶ δὲ μὲν ἐξερεχάσατο αὐτὸς ὁ ἥρως, καθ' ἕκαστον δὲ ἐπὶ μέρους ἐδήλωσεν· ἔτι γὰρ καὶ πρὸ σαίος ὁ ξένιος καὶ αὐτὸ ὑπόθεσιν γέγραφε· καὶ ἄλλοι πλάτων ἅμα αἰτιώμενος αὐτὸ ὡς εἶπον, καὶ δοκοῦμεν αὐτὸ θαυμαστήν τινα ἀποφαίνειν τὴν ποιήσεως, ὡς ἐκ τοῦ ὄντα παντὸς χρήματος, καὶ πάσας ἀτεχνῶς ἀφιέντα φωνὰς ποταμῶν τε, καὶ ἀνέμων, καὶ νυμάτων· καὶ κελάδῳ μάλα εἰρηνικῶς ἐοικότας αὐτὸ ἐρίῳ· καὶ μύρῳ καταχέαντας, ἀφιέναι παρ' ἄλλας· πρὸς δὲ ἀγωνιζόμενα ἐπὶ τὸ μελιόδονον ποιοῦσιν· ἔτι γὰρ καὶ τὸ χάριτος ἐπίον, τὴν ποίησιν σφόδρα ἀγαπᾶται τὴν ἀνδρα ἀτεχνῶς ἢ, ἐκ ἄνευ θείας τύχης, δύνασθαι ἄνευ μισθῶν τε, καὶ ἀπόλλωνος ἐπιποίσας· ἦν δοκοῦσι τῶν ὑψηλῶν, καὶ μεγαλοπρεπῶν, καὶ προσέτι ἡδέαν γενέσθαι ποίησιν, ὡς τε μὴ μόνον ἢ ὁ μογλώφησε, καὶ ὁ μοφώσας ἐσόμενον ἤδη κατέχρη χρόνον, ἀμὰ καὶ τὴν βαρβάρων πολλὰς· ἢ ὃ διγλώφησε, καὶ μιγάδας, σφόδρα ἐμπείρους εἶναι τὴν ἐπῶν αὐτὴ, πολλὰ τὴν ἄλλων ἀγνοοῦντας τὴν ἑλληνικῶν· οἱ δὲ καὶ τὴν σφόδρα μακρὰν διωκισμένων, ὁπότε καὶ παρ' ἡμῖν δῆλοι ἀδιαθάφασι τὴν ὁ μήρου ποίησιν, μεταλαβόντων αὐτὴν εἰς τὴν σφετέραν διάλεκτον τε, καὶ φωνὴν, ὡς τε καὶ ἵνα δοὶ, τὴν ὃ ἄστρων τὴν παρ' ἡμῖν, πολλῶν εἰσιν ἀθέατοι τὰς γὰρ ἄρκτους, ἃ φασι φαίνεσθαι παρ' αὐτοῖς· τὴν δὲ πρίαμου παθημάτων, καὶ τὴν ἀνδρομάχης, καὶ ἑκάβης θρήνων, καὶ ὀδυρμῶν· καὶ τὴν ἀχιλλέως τε, καὶ ἕκτορος ἀνδροφόνου, ἃ ἀπείρως ἔχουσι τοσοῦτον ἴσχυσεν ἑνὸς ἀνδρὸς μισθὸν· καὶ δοκεῖν ἔμοιγε, τῇ ὁμοιᾷ

μετ αὐτὴν, τάς τε σειρῆνας ὑπερβαλέσθαι, καὶ τὸ ὀφρέος τὸ λίθινον τε, καὶ φυτὰ, καὶ θηρία κτλεῖν, καὶ ἄλλα, τί δεῖν ἔτερον, ἢ τὸ βαρβάρως ἀνθρώπους ἀσωτεύειν τὴν ἑλληνικὴν φωνὴν, ὅτων ἄριστα χρώσασθαι, μήτε τὴν λύσιν τῆς, μήτε τὴν πραγμάτων ἐπιστήμης ὄντας, ὑπὲρ ὧν ὁ λόγος, ἅμα δὲ τεχνῶς κεκαθάρθαι, πρὸς μιβάρβαρα συλλαμβάνειν ἡμᾶς ἠναγκάζωσι πολλὰς καὶ τὰ ἀμαθεστέρων ἔτι βαρβάρων, τόδε ὄνομα μαθήσεσθαι τὸ ὁμήρου· ὅ, τι ἦν λοιδόρημα εἰδέναι σαφῶς, εἴτε ζῷον, εἴτε πρᾶγμα ἕτερον, εἴτε φυτὸν· ἃ μὲν, ἅμα καὶ τὸν βίον ἐπαινέσαι τινὰς τὸ ἀνδρὸς πολὺ μᾶλλον τῆς ποιήσεως· τὸ γὰρ ἐν πενίᾳ διαγενέσθαι, καὶ ἀλώβητον, καὶ τὰς ἄκρας ἀφ' ἑαυτῶν ποιημάτων πορίζοντα ὁπόσον ἀποζῆν, θαῦμα τὸ ἀνδρεῖόν, καὶ μεγαλοφροσύνης ἔτι· ἢ τὸ μηδαμοῦ γεγράφθαι τὸ αὐτὸς ὄνομα, ἅμα μὴ δὲ ἐν τῇ αὐτοῦ ποιήσει μνησθῆναι· καίτοι τῶν ἄλλων ἁπάντων, ὁπόσοι τινὰ ἔδοξαν ἔχειν δυώδεκα μίαν, ἢ πρὸ ποίησιν, ἢ καταλογάδην συγγράφοντος, καὶ πρῶτον, καὶ τελευταῖον, τὸ ἑαυτοῦ ὄνομα συγγραφόντων· πολλῶν δὲ καὶ ἐν αὐτοῖς τοῖς λόγοις τε, καὶ ποιήμασιν, ὡς πρὸ ἐκπαίδος τε, καὶ ἡρόδοτος, καὶ θουκυδίδης· ὅπου μὴν οὐχ ἅπαξ μόνον ἐν ἀρχῇ τῆς ἰδέας, ἅμα πολλάκις διαμαρτυράμενος, καθ' ἕκαστον χειμῶνα· καὶ θέρος, ὅτι ταῦτα ξυνέγραψε θουκυδίδης· ὃς δὲ, ὅστις ἆρα ἐλεύθερος ἦν, καὶ μεγαλόφρων, ὡς τε ἀδαμὴν φανήσεται τῇ ποιήσεως αὐτὸς μεμνημένος, ἀλλὰ τῷ ὄντι ὡς πρὸ δὶ προφῆται τὰ θεῶν, ὡς πρὸ ἐξ ἄφαντος, καὶ ἀδύτου ποθὲν φθεγγόμενος· ὅτι δὲ καὶ ὠφέλιμα πάντα, καὶ χρήσιμα ἔγραψε, τὰ μὲν ἄλλα ἃ διεξίοι τις, πολὺ ἂν ἔργον ἐπείη· ὅσα πεποίηκε περὶ ἀρετῆς, καὶ κακίας· περὶ δὲ τῶν βασιλέων, ὧν βραχεῖ οἴεσθαι

Ὀρφικὰ

Inopia

Homerꝰ Velut ex adyto prophe ta gala fanat

σὶ δῆ εἶναι· ὃν γὰρ ἂν ἐπαινῇ τῶν βασιλέων, διὶ μῆτιν ἀτάλαντόν φησιν εἶναι, καὶ διοτρεφέας ἅπαντας τοὺς ἀγαθοὺς βασιλεῖς· καὶ τὴν μίνω, μεγίστην ἐπιδικαιοσύνῃ δόξαν ἔχοντα παρὰ τοῖς ἕλλησι, τοῦ διὸς ὁ μηλητήν τε, καὶ μαθητὴν ξῆναί φησιν, ὡς πρῶτον δὴ καὶ μέγιστον ἁπάντων ἐκείνων βασιλέα, καὶ μόνον αὐτὸν ἐπιστάμενον, καὶ παραδιδόντα τὴν βασιλικὴν τέχνην, καὶ τὴν ἀγαθοὺς βασιλεῖς δέον πρὸς ἐκεῖνον βλέποντας, κατευθύνειν τὴν ἀρχὴν· ἀφομιοῦντας ὡς δυνατόν ἐστιν ἀνθρώπους θεῷ, τὸν αὐτὸν τρόπον· τὸν δὲ τοῦ διὸς ἦθος, καὶ τὴν βασιλείαν, ὁ ποία τις ἦν, ἐν πολλοῖς ἄλλοις ποιεῖ φανερόν· ὡς δ' ἐν βραχεῖ περιλαβόντα εἰπεῖν τὴν δύναμιν αὐτοῦ, καὶ τὴν διάνοιαν, δηλοῖ πολλάκις ἀείποτε αὐτὸν· οὕτως ὀνομάζων πατὴρ ἀνδρῶν τε, θεῶν τε, ὡς δέον τὴν τῶν βασιλέων ἐπιμέλειαν πατρικὴν, καὶ κηδεμονικὴν εἶναι, μετ' εὐνοίας, καὶ φιλίας, ὡς μηδὲ ποτε ἄλλως προσῆκον ἀνθρώπῳ προΐστασθαί τε, καὶ ἄρχειν, ἢ ἀγαπῶντα, καὶ προνοοῦντα ὁ πότε ὁ ζεὺς οὐχ ὑπερορᾷ πατὴρ τῶν ἀνθρώπων καλεῖσθαι.

Magistratus patria functio

ΤΕΛΟΣ.

